

Google



ALEXANDRI APHRODISIENSIS
AMMONII HERMIAE FILII, PLOTINI,
BARDESANIS SYRI,
ET
GEORGII GEMISTI PLETHONIS

DE FATO

QUAE SUPERSUNT
GRAECE.

AD CODICUM MANUSCRIPTORUM EDITIONUM VERSIONUM FIDEM RECENSUIT, INTERPRETATIONEM LATINAM HUGONIS GROTII ET ALIORUM EMENDATIOREM, VARIETATEM LECTIONIS ET NOTAS ADIECIT

IOANNES CONRADUS ORELLIUS,

PAROCHUS AD TEMPLUM SPIRITUS SANCTI ET COLLEGII CAROLINI TURICENSIS CANONICUS.

INSERTAE SUNT ANIMADVERSIONES

IO. CASPARI ORELLII

PROFESSORIS ELOQUENTIAE ET HERMENEUTICES IN GYMNASIO TURICENSI.

TURICI,

Typis Orellii, Fuesslini et Soc. MDCCCXXIV.

PRAEFATIO.

Offero iam tibi, lector benevole, novam, quam in Praefatione ad Sallustium Philosophum promiseram, libri de Fato Alexandri Aphrodisiensis editionem, cum adiunctis similis argumenti commentationibus brevioribus cum eiusdem Alexandri, tum Ammonii Hermiae filii, Plotini, Bardesanis et Georgii Gemisti Plethonis; in qua editione quid praestitum fuerit, paucis accipe.

Ante omnia mihi tam felici esse contigisse, ut complura, imo tantum non omnia ad recensendum Alexandri textum necessaria subsidia mihi compararem, est quo laetor maximopere. In quibus principem locum tenent Codices duo Manuscripti, primus Fabricianus in Bibliotheca Regia Havniensi instructissima asservatus, cuius cum editione Londinensi collationem accuratissime factam acceptam re-

fero eximiae humanitati ac benevolentiae Th. D. Blochii istius Bibliothecae praefecti, qui vir doctissimus ex Sallustio philosopho a me edito haud prorsus sinistram opinionem de futura Alexandri editione concipiens, ultro nec opinanti mihi misit hoc munus gratissimum, et nunquam intermoriturae amicitiae tesseram. Est scil. hic Codex chartaceus optimae notae, accuratius descriptus a Fr. Müntero in Miscellaneis Havniensibus Theologici et Philologici argumenti, et continet varia scripta philosophica hac serie. 1) Ioannis Damasceni *κεφαλαῖα φιλοσοφικά*. 2) *περὶ ἑκουσίου καὶ ἀκουσίου* auctore Neo-Graeco aliquo seculi XVI. extremi. 3) Alexandri Aphrodisiensis *περὶ τύχης καὶ εἱμαρμένης* Capita II. ex eius libro II. de anima. 4) Eiusdem *πρὸς αὐτοκράτορας περὶ εἱμαρμένης καὶ τοῦ ἐφ᾽ ἡμῖν*. 5) Eiusdem *σχολίων φυσικῶν ἀπορειῶν καὶ λύσεων βιβλίον β.* Cap. II-XVI. tandem postremo loco: 6) *Συναγωγὴ τῶν ἀναγκαιοτάτων ἐξηγήσεων εἰς τὴν ῥητορικὴν τῶν ἀποδοθεισῶν ὑπὸ τῶν χριστιανῶν ἐξηγητῶν καὶ Ἑλλήνων* (Scholia in Aristotelis Rhetoricam quae eadem videntur esse cum iis, quae 1539 Parisis excusa fuerunt typis Conradi Neobarii). Eiusdem Blochii eximiae humanitati et amicitiae debeo duo Capita de Fortuna et Fato ex eodem Codice Havniensi accurate exscripta una cum varietate lectionis

editionis Aldinae prioris (nam in altera Libri de anima, quibus continentur haec capita, licet in titulo promittantur, non comparent.) in quibus Alexander suam vel potius magistri sui Aristotelis de Fato sententiam brevius quidem, sed haud paullo clarius et lucidius exposuit, quam in maiore libro ad Imperatores. Alter Codex quo uti licebat, est Monacensis vel potius Exemplar Editionis Aldinae prioris in Bibliotheca Regia Monacensi asservatum, cui vir doctus aliquis, sive is fuerit Petrus Victorius sive quis alius, cum correctiones Aldinae posterioris tum alias lectiones haud contemnendas in margine adscripsit. Cuius Codicis excerpta mecum communicavit Xaverius Werferus· ὁ μακαρίτης paucis ante omnibus literarum humaniorum cultoribus acerbissimum suum obitum hebdomadibus. Cum enim per literas illi gratissimi animi sensa testificari vellem, eheu tristis nuntius ad me rediit, virum doctissimum et humanissimum e vivis exiisse.

Nec minus iuverunt me in Alexandro emendando subsidia typis impressa, e quibus primo loco ponendae erunt editiones duae Aldinae, prima anno 1534 altera 1536 excusa (1),

---

(1) Prioris titulus est: *Τὰ τοῦ Θεμιστίου Εὐφράδους ἅπαντα, τουτέστι παράφρασις καὶ λόγοι. Ἀλεξάνδρου Ἀφροδισιέως περὶ ψυχῆς βιβλία δύο καὶ ἓν*

quas cum in almae patriae et reliquis Helvetiae bibliothecis publicis frustra quaesivissem, per literas adii Benekium Professorem Göttingensem, qui vir humanissimus et iam de Epistolis Socraticis, Memnone Heracleota, aliisque a me curatis Graecorum scriptorum editionibus optime meritus brevi misit collationem utriusque Aldinae cum editione Londinensi accuratissime factam a duobus Seminarii Philologici sodalibus. Editionem Io. Caselii, qui vir doctrina et acumine pollens loca haud pauca emendavit egregie, Rostochii 1588 forma quarta excusam benevole mecum communicatam a Frederico Creuzero, Viro doctissimo, ipse contuli cum una quam ipse possidebam editione Londinensi 1658 impressa typis Thomae Roycroft. Usus sum etiam Capitibus Alexandri quae cum lectionibus ab editis haud raro

---

περὶ εἱμαρμένης. Venetiis ap. Aldum 1534. folio. Posterioris autem: *Ζητήματα Ἀλεξάνδρου φυσικὰ, περὶ ψυχῆς, Μετάφρασις ἐκ τῶν Δαμασκίου εἰς τὸν πρῶτον περὶ οὐρανοῦ βιβλίον. Ἐπιτομὴ σχολικὴ εἰς τὰ δ πρῶτα καὶ τὸ η περὶ φυσικῆς βιβλία. Θεοφράστου περὶ αἰσθήσεως βιβλίον, Πρισκιανοῦ Λύδου μετάφρασις τῶν Θεοφράστου περὶ αἰσθήσεως.* Venetis typis Aldi et Asulani 1536. fol. Sed in exemplaribus omnibus, quae cum Fabricius, tum doctissimus Blochius inspexit, insunt tantum Alexandri Quaestiones Physicae cum libro de Fato, omissis reliquis quae titulus promiserat.

discrepantibus Eusebius inseruit Praeparationi suae Evangelicae, nec non versione latina antiquissima Hieronymi Bagolini Veronensis, quae licet nimis anxie verbum de verbo reddat, et in locis haud paucis ineptissima sit, tamen cum e Codice quodam optimae notae et cum Manuscripto Havniensi in plerisque consentiente facta esset, non parum iuvit ad textum emendandum, verasque et genuinas (2) lectiones eliciendas. Adhibui tandem praeter versiones latinas Hugonis Grotii et editoris Londinensis etiam Germanicam τοῦ νῦν ἐν ἁγίοις Georgii Schulthessii nostratis, pastoris quondam Moenchaltorfensis in pago Turicensi, bonam fidamque (3), et exemplar editionis Londinensis quo usus erat vir doctissimus in vertendo Alexandro, cum eiusdem emendationibus paucis quidem, sed egregiis margini adscriptis, commodatum mihi a venerando filio

---

(2) Liber rarissimus sic inscribitur: Alexandri Aphrodisiensis Peripatetici doctissimi Quaestiones Naturales et Morales et de Fato, Hieronymo Bagolino Veronensi et Baptista filio interpretibus, de anima liber I. Hieronymo Donato Patricio Veneto interprete, de anima liber II. et de mixtione Angelo Caninio Anglariensi interprete omnia excusa Venetiis apud Hieronymum Scotum 1559. in folio.

(3) Insertam l. t. *Bibliothek der griechischen Philosophen.* T. IV. p. 150 et seqq. Turici 1782. oct.

Ioanne Schulthessio, Doctore Theologiae et literarum sacrarum in Gymnasio Turicensi Professore.

His itaque praesidiis uso licuit mihi cum lacunas quasdam editionum priorum supplere, tum veram et genuinam auctoris scripturam in locis haud paucis revocare, quamquam restarent loca nonnulla corruptiora, quae etiamnum meliorum Codicum opem desiderant, quibus pro virium modulo ipse in animadversionibus medelam afferre conatus sum, adiutus hac in re acumine et eruditione patruelis mei carissimi Io. Caspari Orellii. Textui ad latus addidi versionem latinam Hugonis Grotii, maxime ex editione Aldina posteriore expressam, insertam latine ab ipso redditis veterum Philosophorum de Fato sententiis (Lugduni Batavorum ap. Elzevir. 1648 duodenis) cum elegantior et melior videretur ea quae legitur in editione Londinensi, correctis tamen locis quibusdam, ubi humani quid passus videbatur vir immortalis memoriae, vel ubi emendatior lectio alia suadebat. Libro de Fato addidi Capita duo de Fortuna et Fato, cum versione latina Angeli Caninii (nam Grotius nullam prorsus eorum habuisse videtur notitiam) porro Ammonii Hermiae filii et Plotini Commentationes de Fato, illam ex editione Alexandri Londinensi, hanc ex una quae Graece exstat,

Enneadum editione Marsilii Ficini Basileae apud Pernam Lecythum 1580 impressa descriptam, correctis tamen aliquot vitiis typographicis. Addidi etiam Bardesanis Syri locum adversus Astrologos servatum ab Eusebio in Praeparatione Evangelica, collatis Rob. Stephani et Franc. Vigeri editionibus, tandem coronidis loco praeter breve Alcinoi Caput, Georgii Gemisti Plethonis libellum de Fato ex editione Sam. Reimari Hamburgensis, Lugduni Batavorum ap. Conradum Wisshof 1722 excusa, cum eiusdem versione latina, omissis tamen, ne moles libri nimis augeretur, aliis quae in hac editione leguntur, quaestionibus philosophicis inter Plethonem et eius discipulum Bessarionem agitatis.

Ad calcem adieci cum Varietatem lectionis e Codicibus Msstis et editionibus Alexandri maxima qua potui diligentia excerptam, tum notas breves in omnia opuscula hac collatione contenta Criticam maxime spectantes.

Postrema gratissima animi sensa testificari liceat patrueli meo carissimo Casparo Orellio, Professori Eloquentiae et Hermeneutices sacrae in Gymnasio Turicensi meritissimo: qui non solum laborem textus emendandi et a vitiis typographicis repurgandi mecum partitus est diligentissime, sed etiam animadversionibus suis doctrina et acumine quibus pollet dignis-

simis, literarum Graecarum cultoribus strenam addidit gratissimam.

Vale benevole lector et fave Alexandro meo, et si quidem Deus Optimus Maximus vitam viresque conservaverit, praeter Alcinoi et Albini Introductiones in Platonem, novam etiam editionem Commentarii Hieroclis in aurea carmina Pythagoreorum vere aurei, cum reliquis eiusdem Fragmentis, meis curis adornatam exspecta.

Scribebam Turici Helvetiorum 6. Aprilis 1824.

SERIES EORUM

QUAE HOC VOLUMINE CONTINENTUR.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΚΡΑΤΟΡΑΣ

ΠΕΡΙ ῾ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΤΟΥ ΕΦ' ῾ΗΜΙΝ.

ALEXANDRI APHRODISIENSIS

AD IMPERATORES

DE FATO ET DE EO QUOD IN NOSTRA POTESTATE EST.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

πρὸς τοὺς αὐτοκράτορας

ΠΕΡΙ ʽΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΤΟΥ ΕΦʼ ʽΗΜΙΝ.

Α.

ʼΗΝ μὲν δὴ ἐυχῆς μοι, μέγιστοι ʼΑυτοκράτορες, Σεβῆρε καὶ ʼΑντωνῖνε, αὐτῷ γενομένῳ παρʼ ὑμᾶς καὶ προςειπεῖν καὶ καθομολογῆσαι χάριν [1] *ἀνθʼ ὧν ἔπαθον ἐῦ παρʼ ὑμῶν πολλάκις, ἀεὶ τυχὼν πάντων ὧν ἠξίωσα, μετὰ μαρτυρίας, ὡς* [2] *δίκαιος ἐῖναι τυγχάνειν τοιαῦτα ἀιτούμενος. ʼΕπεὶ δὲ ἐφεῖται* [3]*, ἐι μὴ παρὼν τις τοῖς ἱεροῖς θύειν τοῖς Θεοῖς* [4] *δύναται, τὸ θύειν ἀυτοῖς πανταχόθεν τε καὶ πανταχοῦ, καὶ πέμπειν ἀναθήματα* [4a]*, ἃ μὴ κομίζειν αὐτὸς οἷός τε ἦν* [5]*, ἐθάρσησα πρὸς ὑμᾶς* [6] *τῇ πρὸς τὸ θεῖον ἐξουσίᾳ, καί τινα ἀπαρχὴν* [7] *ὑμῖν τῶν ἡμετέρων καρπῶν ἀνάθημα πέμψαι, ὀικειότατον ὑμῖν* [8] *ἀναθημάτων ἁπάντων. Τί γὰρ ἂν ὀικειότερον τοῖς γνησίως φιλοσοφίαν τιμῶσί* [9] *τε καὶ προάγουσιν ἀνάθημα γένοιτο, βιβλίου ὑπισχνουμένου θεωρίαν φιλόσοφον περισχεῖν καὶ τὴν δόξαν* [10] *τὴν ʼΑριστοτέλους, ἣν ἔχει περί τε* [10a] *ἑιμαρμένης καὶ τοῦ ἐφʼ ἡμῖν, ὅυ τῆς φιλοσοφίας προΐσταμαι* [10b]*, ὑπὸ τῆς ὑμετέρας μαρτυρίας διδάσκαλος αὐτῆς κεκηρυγμένος. Ἔστι δὲ οὐδενὸς δεύτερον τῶν κατὰ φιλοσοφίαν δογμάτων τοῦτο τὸ δόγμα· ἥτε γὰρ ἀπʼ ἀυτοῦ* [11] *χρεία πανταχοῦ*

ALEXANDRI APHRODISIENSIS

LIBER AD IMPERATORES

DE FATO ET DE EO QUOD NOSTRÆ EST POTESTATIS.

Hugone Grotio interprete.

I.

Nihil mihi magis in votis fuit, Severe et Antonine Imperatores maximi, quam cum in vestris essem locis, vos conspicari, vos affari et gratias agere pro multis acceptis beneficiis, non tantum quod adeptus sum quae volui, sed quod insuper ornatus testimonio dignum me esse qui adipiscerer quae postulaveram. Verum cum fas permittat ei, qui in templis ipsis coram sacra (Diis) facere non possit, ubivis locorum ea facere, et aliunde dona mittere, quae ferre ipse nequeat; ex eo quod circa Deos licet, mihi quoque hoc iuris sumsi vobis donum mittere, eorum quae nobis nascuntur fructuum quasi primitias, et quidem donum tale, quod ad vos proprio jure pertineat. Quod enim donum magis eis conveniat dari, qui sapientiae studia sincere et amant et promovent, quam librum qui contemplationes contineat ad eadem studia pertinentes et qui Aristotelis explicet sententiam de Fato et de eo, quod penes nos est, et librum ab eo factum, qui cum vestro testimonio publice receptus sit Aristotelis placitorum interpres. Est autem haec pars placitorum nulla alia parte infe-

τε καὶ ἐπὶ πάντα διατείνει· οὐ γὰρ ὁμοίως περὶ τὰς πράξεις ἔχουσιν οἵ τε πάντα ἐξ ἀνάγκης τε [12]) καὶ καθ᾿ εἱμαρμένην γίνεσθαι πεπιστευκότες, καὶ οἷς δοκεῖ γίνεσθαί τινα, ἃ καὶ μὴ [13]) τοῦ πάντως ἔσεσθαι προκαταβεβλημένας αἰτίας ἔχουσι [14])· ἥτε εὕρεσις [15]) τῆς ἀληθείας τῆς ἐν αὐτῇ χαλεπωτάτη δοκεῖ [16]), τῷ δοκεῖν τῶν δοξῶν ἑκατέρᾳ πολλὰ [17]) ἀντιμαρτυρεῖν τῶν ἐναργῶν. Ἐπεὶ δὲ ἐνίων δογμάτων κατασκευὴ διὰ τὴν πρὸς τοὺς μὴ ὁμοίως λέγοντας ἀντιλογίαν γίνεται φανερωτέρα [ὧν ἐν τοῖς μάλιστα κατ᾿ αὐτοῦ τί εἴη ἂν μείζω [18]), ἢ κατὰ Ἀριστοτέλους δόξαν εἰπεῖν;] ποιήσομαι τὸν λόγον πρὸς τοὺς οὐχ᾿ ὁμοίως ἐκείνῳ περὶ τούτων εἰρηκότας, ὅπως ἐν τῇ τῶν λεγομένων παραθέσει φανερώτερον ἡμῖν τἀληθὲς γένηται. Ἔστι δὲ ἡ τῶν λόγων τῶν ἡμετέρων προαίρεσις οὐ πρὸς ἐπίδειξιν νενευκυῖα, ἀλλὰ πρὸς ἐξέτασίν τε καὶ διδασκαλίαν τῶν προκειμένων ἀκριβεστέραν ἣν καὶ ὑμᾶς πᾶσιν οἷς πράσσετε [19]) ὁρᾷν ἔνεστιν ἐζηλωκότας, οὐδεμίαν γὰρ πρᾶξιν ὑμῶν ἐστὶν εὑρεῖν, ἐν ᾗ [20]) τὴν φαντασίαν πρὸ τῆς ἀληθείας σκοπὸν πεποίησθε [21]). Ει δέ τι [22]) κατὰ σχολὴν ἐντυγχάνουσιν ὑμῖν [23]) τῷ βιβλίῳ, δεῖσθαι [24]) δόξει ῥηθῆναι γνωριμώτερον, ἀξιῶ τιμηθῆναι καὶ ταύτῃ τῇ τιμῇ παρ᾿ ὑμῶν [25]), καὶ γραφῆναί μοι περὶ τῶν ζητουμένων· οὐδὲ γὰρ ῥᾴδιον πάντα γνώριμα ποιῆσαι δι᾿ ἑνὸς βιβλίου [26]), αὐτά τε τὰ προκείμενα, καὶ οἷς τις χρῆται πρὸς τὴν μήνυσιν αὐτῶν.

B.

Τὸ μὲν οὖν εἶναί τι τὴν εἱμαρμένην, καὶ αἰτίαν εἶναι τοῦ γίνεσθαί τινα κατ᾿ αὐτὴν [1]), ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησι πρόληψις· οὐ γὰρ κενὸν οὐδ᾿ ἄστοχον τἀληθοῦς ἡ κοινὴ τῶν ἀνθρώπων φύσις, καθ᾿ ἣν περί τινων ὁμοδοξοῦσιν ἀλλήλοις, ὅσοι γε αὐτῶν μὴ διὰ τινὰς προκαταβεβλημένας δόξας ὑφ

rior. Nam usus hujus partis quoquoversum se et ad omnia extendit. Non enim eodem modo circa res agendas se habent illi qui credunt omnia vi necessitatis et fati iugo constringi et ii qui censent exsistere et quaedam, quae fiant sine causis antepositis necessario ea efficientibus. Tum vero videtur in his veritas inventu perquam difficilis, ideo quod et huic et illi sententiae quaedam adversari videantur manifesto. Quia vero nonnullorum dogmatum firmior (et evidentior) sit structura disputando cum eis qui contra sentiant, (in qua inquisitione quid est quod majus momentum habere possit quam nosse Aristotelis sententiam?) eos alloquar, qui non eadem cum ipso dixere, ut contendendo inter se quae utrinque sunt dicta, magis illucescat veritas. Propositum autem sermonis nostri non ad ostentationem dirigetur, sed ad quam maxime sedulam inquisitionem et explicationem veri, cui et vos videmus ante omnia studere in iis rebus quae vobis tractandae veniunt. Nulla enim vestrarum actionum conspicitur, in qua vobis id potius quod videtur quam quod verum sit propositum habeatis. Quod si per otium incidetis in hunc librum ac iudicabitis quaedam oportuisse explicatius dici, magni faciam hunc honorem, si ad me perscribantur quae sint illa, de quibus manet dubitatio. Non enim facile est in uno libro dilucide exponere et rem de qua agitur, et ea quibus utendum ad rerum ipsarum explicationem.

II.

Esse igitur fatum, et ab eo causam cur quaedam fiant fataliter, satis firmum argumentum praebet hominum anticipata quaedam notio. Neque enim vana aut a vero aberrans est hominum natura, ubi de re aliqua consentitur inter eos qui non ex antehaustis opinionibus, ut nimirum tueantur quae eis sunt consentanea,

αὑτῶν, διὰ τὸ σώζειν βούλεσθαι τὴν πρὸς αὑτὰς ἀκολουθίαν ἄλλως ἀναγκάζονται λέγειν· [δι' ἣν αἰτίαν οὐδὲ Ἀναξαγόρας ὁ Κλαζομένιος [2]*), καί τοι τἄλλα ὢν ἐν τοῖς τὴν φυσικὴν φιλοσοφίαν φιλοσοφήσασιν οὐκ ἀπεῤῥιμμένος, οὐκ ἀξιόπιστος* [3]*) ἀντιμαρτυρῶν τῇ κοινῇ τῶν ἀνθρώπων πίστει περὶ εἱμαρμένης, λέγει γὰρ οὗτός γε μηδὲν τῶν γινομένων* [4]*) γίνεσθαι καθ' εἱμαρμένην, ἀλλὰ εἶναι κενὸν τοῦτο τοὔνομα], τί δέ ποτ' ἐστὶν* [5]*) ἡ εἱμαρμένη, καὶ ἐν τίσιν, οὐκέτι* [6]*). Ὀυ γὰρ μόνον οὐκ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ ἡ τῶν ἀνθρώπων κοινὴ πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι· οὔτε γὰρ ἀλλήλοις ἅπαντες, ἀλλὰ οὐδὲ αὐτὸς αὑτῷ τις περὶ αὐτῆς ἀεὶ τὰ αὐτὰ δοξάζει· πρὸς γὰρ τοὺς καιροὺς τε, καὶ τὰς περιεστώσας τύχας, καὶ τὴν περὶ τῆς εἱμαρμένης δόξαν μεταφέρουσιν. Ὅσοι μὲν γὰρ αὐτῶν πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσι, τὴν εἱμαρμένην ὑπολαμβάνουσιν ἀπαράβατόν τινα αἰτίαν εἶναι καὶ ἀναπόδραστον. Ἐισὶ δ' οἷς οὐ πάντα τὰ γινόμενα δοκεῖ* [7]*) γίνεσθαι καθ' εἱμαρμένην, ἀλλ' εἶναί τινας ὑπολαμβάνουσι τῶν γινομένων καὶ ἄλλας αἰτίας· ἀλλ' οὐδὲ τὴν εἱμαρμένην* [8]*) αὐτὴν τὸ πάγιόν τε καὶ ἀπαράβατον ἔχειν τίθενται, ἀλλὰ γίνεσθαί τινα καὶ τῶν καθ' εἱμαρμένην γίνεσθαι πεφυκότων, οὐ κατ' αὐτὴν* [9]*), ἀλλὰ παρὰ μοῖραν, ὡς οἱ ποιηταί φασι, καὶ παρὰ τὴν εἱμαρμένην. Ἐστὶ δ' οἷς ποτε πάντα γίνεσθαι τὰ γινόμενα δοκεῖ καθ' εἱμαρμένην, καὶ μάλιστ' ἂν αὐτοῖς τὰ τῆς τύχης* [10]*) ἀντιπίπτῃ· κατορθοῦντες δὲ ἐν τοῖς προκειμένοις, αὑτοὺς αἰτίους εἶναι τῶν κατορθωμάτων ὑπολαμβάνουσιν, ὡς οὐκ ἂν ἀπαντησάντων τῶν ἀπηντηκότων, ἐι μὴ αὐτοὶ τάδε μᾶλλον ἔπραξαν ἀντὶ τῶνδε, ὡς ἔχοντες καὶ τοῦ μὴ πράττειν αὐτὰ τὴν ἐξουσίαν. Δι' ἣν διαφωνίαν ἀναγκαία τοῖς φιλοσοφοῦσιν ἡ ζήτησις περὶ* [11]*) τῆς εἱμαρμένης, οὐκ ἐι ἔστιν, ἀλλὰ τί ποτ' ἐστὶ καὶ ἐν τίσι τῶν γινομένων ἐστὶν ἡ τοιαύτη* [12]*) φύσις.*

in diversa ab aliis discedunt. [Quam ob rem Clazomenius Anaxagoras, quanquam in aliis non postremus eorum qui rerum naturae studio incubuere, in hac re videri potest fidem non mereri, cum consentienti hominum de Fato persuasioni se obiectet. Ait enim ille: nihil Fato fieri eorum quae fiunt: sed inane hoc esse nomen.] Quid vero sit Fatum et quibus in rebus situm, id non aeque expeditum est. Nam hoc ipsum non modo non homines alii aliis, sed nec ipsa communis praenotio satis explicat. Imo non tantum non omnes omnibus, sed nec singuli sibimet ipsis semper eadem hac de re sentiunt. Nam prout sunt tempora casusque rerum, ita singuli de Fato opinionem mutant. Qui cuncta Fato censent fieri, ii per Fatum causam intelligunt inevitabilem atque inextricabilem. Sunt alii quibus non omnia videntur Fato fieri, quique eorum quae fiunt etiam alias causas esse existimant, neque vero Fato putant vim illam inesse praefractam atque insuperabilem: sed et quaedam eorum quae possent Fato fieri, non fieri Fato, sed, ut poëtae loquuntur, extra sortem fatumque. Sunt item qui tunc maxime cuncta Fato agi existimant, cum adversa ipsis flat fortuna: et iidem tamen cum quae conantur prospere ipsis eveniunt, semet eorum successuum causas haberi volunt, quasi non proventura fuerint ea quae provenere, nisi ipsi sic et non aliter egissent, quod in ipsorum arbitrio fuerit talia non agere. Quare in tanta opinionum dissonantia digna est philosophis quaestio de Fato, non an sit, sed quid sit, quibusque in rebus quae fiunt, aut exsistunt, vim suam exserat.

I.

Ὅτι μὲν αἰτίαν [1]) τινὰ τὴν εἱμαρμένην τοῖς γινομένοις εἶναι λέγουσι πάντες, οἱ περὶ εἱμαρμένης λέγοντές τι, γνώριμον· ταύτην γὰρ ἀποδιδόασί τε καὶ φασὶν αἰτίαν εἶναι τοῦ γίνεσθαι τὰ γινόμενα, ὃν τρόπον γίνεται [2]). Ἐπεὶ δὲ πλεοναχῶς λέγεται τὰ αἴτια [3]), ἀναγκαῖον τοῖς ἐν τάξει τὸ πρόβλημα μετιοῦσι, πρῶτον λαβεῖν, ὑπὸ τίνα τρόπον [4]) τῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην· οὐδὲν γὰρ τῶν πολλαχῶς λεγομένων γνώριμον χωρὶς τῆς οἰκείας διαιρέσεως λεγόμενον. Διαιρεῖται δὲ [5]) τὰ τῶν γινομένων αἴτια εἰς τρόπους αἰτιῶν [6]) τέσσαρας, καθὼς ὁ θεῖος Ἀριστοτέλης [7]) δέδειχεν. τῶν γὰρ αἰτίων τὰ μέν ἐστι ποιητικὰ [8]), τὰ δὲ ὕλης ἐπέχει λόγον, ἔστι δέ τις ἐν αὐτοῖς καὶ ἡ κατὰ τὸ εἶδος αἰτία. Παρὰ δὲ τὰς τρεῖς [9]) ταύτας αἰτίας ἔστιν αἴτιον ἐν αὐτοῖς καὶ τὸ τέλος [10]), οὗ χάριν καὶ τὸ γινόμενον γίνεται. Καὶ τοσαῦται μὲν αἱ τῶν αἰτίων διαφοραὶ, ὅτι γὰρ ἂν αἴτιον ᾖ τινὸς, ὑπὸ τούτων τὶ τῶν αἰτίων ὂν εὑρεθήσεται. Καὶ γὰρ εἰ μὴ πάντα τὰ γινόμενα τοσαύτων αἰτίων δεῖται, ἀλλὰ τά γε πλείστων δεόμενα [11]) οὐχ ὑπερβαίνει τὸν ἀριθμὸν τὸν εἰρημένον. Γνωριμωτέρα δ᾽ ἂν [12]) αὐτῶν ἡ διαφορὰ γίνοιτο, εἰ ἐπὶ παραδείγματός τινος τῶν γινομένων [13]) ὁραθείη. Ἔστω δὴ ἐπ᾽ ἀνδριάντος ἡμῖν ἡ τῶν αἰτίων δεικνυμένη διαίρεσις. Τοῦ δὴ ἀνδριάντος ὡς μὲν ποιητικὸν αἴτιον ὁ ποιήσας τεχνίτης, ὃν ἀνδριαντοποιὸν καλοῦμεν, ὡς δὲ ἡ ὕλη ὁ ὑποκείμενος χαλκὸς ἢ λίθος, ἢ ὅ,τι ἂν ᾖ τὸ ὑπὸ τοῦ τεχνίτου [14]) σχηματιζόμενον κατὰ τὴν τέχνην· αἴτιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδριάντα. Ἔστι δὲ καὶ τὸ εἶδος τὸ ἐν τῷ ὑποκειμένῳ τούτῳ γινόμενον [15]) ὑπὸ τοῦ τεχνίτου, καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον, δι᾽ ὅ ἐστιν εἶδος δισκεύον ἢ ἀκοντίζον [16]), ἢ ἐπ᾽ ἄλλου τινὸς ὡρισμένου σχήματος. Ου μόνα δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος γενέσεως αἴτια ἔστιν, οὐδενὸς γὰρ τῶν αἰτίων τῆς γε-

III.

Omnes igitur, qui de Fato agunt, Fato adscribere vim quandam causae in ea quae fiunt, evidens est. Hanc enim assignant et affirmant causam esse, cur fiant quae fiunt et quomodo fiant. Cum vero causae vox non uno in significatu sumatur, opus est ut qui ordine hanc quaestionem velit exsequi, inde initium sumat, quanam in causarum classe ponendum sit Fatum. Nihil enim eorum quae aliis et aliis dicuntur sensibus, clarum evadet, nisi adhibeatur commoda distinctio. Causae ergo per quas res fiunt, discernuntur in classes quatuor, sicut divinus Aristoteles monstravit. Causarum enim alias esse ait opifices, alias vim habere materiae, alias in forma positas; ad haec tria causarum genera accedere quartum, quod est propositum operis, cuius ergo fit quod fit. Et tot quidem sunt causarum diversitates. Quanquam vero non omnia quae fiunt tot causis opus habent, attamen quae plurimis indigent causis, non excedunt dictum iam numerum. Sed omnium harum causarum discretio fiet apertior, si in aliquo eorum quae fiunt exemplo spectatur. Discrimen ergo causarum quaeramus in simulacro. Eius causa opifex est is qui illud condidit artifex, quem statuarium dicimus. Pro materia est arti subiacens aut aes aut marmor, aut si quid aliud statuarii arte figuratur. Nam et hoc est causa, cur sit curque fiat simulacrum. Verum species ipsa simulacri causa est, ea scilicet, quam materiae imponit statuarius, propter quam statua vocatur disco ludens, sagittarius, et aliis nominibus ex certa forma desumtis. Sed neque haec sola causae sunt, cur exoriatur simulacrum: nulli enim causarum operis cedit propositum cuius ergo agitur, puta honos alicuius aut in aliquem Deorum pietas. Talis enim causa nisi exstitisset, ne coeptum quidem esset

νέσεως αὐτοῦ δεύτερον τὸ τέλος οὗ χάριν γέγονε, τουτέστιν ἢ τιμή τινος [17]), ἢ ἐις Θεὸν ἐυσέβειά τις [18])· ἄνευ γὰρ τοιαύτης αἰτίας οὐδ᾽ ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. Ὄντων τοίνυν τοσαύτων τῶν αἰτίων [19]), καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων γνώριμον, τὴν ἑιμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δικαίως ἂν καταριθμοῖμεν ἀναλογίαν σώζουσαν πρὸς τὰ γινόμενα κατ᾽ αὐτὴν, τῷ τοῦ ἀνδριάντος δημιουργῷ τεχνίτῃ [20]).

Δ.

Τούτου δὲ οὕτως ἔχοντος, ἀκόλουθον ἂν ἐίη περὶ τῶν ποιητικῶν αἰτίων ποιήσασθαι τὸν λόγον [1])· οὕτω γὰρ ἔσται γνώριμον, ἐίτε πάντων τῶν γινομένων χρὴ τὴν ἑιμαρμένην αἰτιᾶσθαι, ἐίτε δεῖ [2]) καὶ ἄλλοις τισὶ παρὰ τήνδε συγχωρεῖν, ὡς οὖσι ποιητικοῖς τινων αἰτίοις. Ἁπάντων δὴ τῶν γινομένων Ἀριστοτέλης [3]) ποιούμενος τὴν διαίρεσιν [4]), τὰ μὲν αὐτῶν τινὸς χάριν γίνεσθαι λέγει, σκοπόν τινα καὶ τέλος τῶν γινομένων προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτὰ, τὰ δ᾽ οὐδενός· ὅσα γὰρ [5]) οὐ κατὰ πρόθεσίν τινα ὑπὸ τοῦ ποιοῦντος γίνεται, οὐδ᾽ ἐπὶ τέλος ὡρισμένον ἔχει τὴν ἀναφορὰν, τοιαῦτα ὁποῖά ἐστι καρφῶν [6]) τέ τινων διακρατήσεις καὶ περιστροφαὶ, καὶ τριχῶν ἐπαφαί τε καὶ ἐκτάσεις, καὶ ὅσα τούτοις ὁμοίως γίνεται· ἃ γὰρ [7]) ὅτι μὲν γίνεται [8]) καὶ αὐτὰ, γνώριμον, οὐ μὴν ἔχει [8 b]) τὴν κατὰ τέλος [9]) καὶ τινὸς χάριν [10]) αἰτίαν. Τὰ μὲν οὖν οὕτω γινόμενα ἀσκόπως τε καὶ ἁπλῶς γινόμενα οὐδεμίαν ἐύλογον ἔχει διαίρεσιν· τῶν δὲ ἐπί τι τὴν ἀναφορὰν ἐχόντων, καί τινος γινομένων χάριν, τὰ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ λόγον γίνεται [11]). Τά τε γὰρ φύσιν αἰτίαν ἔχοντα τῆς γενέσεως, κατά τινας ἀριθμοὺς, καὶ τάξιν ὡρισμένην πρόεισιν ἐίς τι τέλος [12]), ἐν ᾧ γινόμενα τοῦ γίνεσθαι παύεται [13]), ἐι μή τι αὐτοῖς [ἐνστὰν] [14]) ἐμποδὼν γένοιτο τῇ κατὰ φύσιν αὐτῶν ἐπὶ τὸ προ-

fieri simulacrum. Quare cum ista sint causarum genera, et istis discriminata varietatibus, palam est Fatum iure inter eas nominari causas, quas opifices diximus, quia comparationem in se continet cum artifice simulacri effectore.

IV.

Quod cum ita se habeat, consequens est de opificibus causis amplius disseremus. Inde enim apparebit an omnium quae fiunt causa adscribenda sit Fato, an vero alia in censum illum causarum opificum vocari debeant. Aristoteles cuncta quae fiunt, dispartiens, quaedam ait alicuius rei ergo fieri; nempe cum is qui rem efficit, habet in conspectu animi quendam velut finem sive scopum quo tendit: quaedam vero non ita fieri. Quaecunque enim non ad aliquid destinantur ab opifice neque referuntur ad finem aliquem definitum, qualia sunt festucarum apprehensio versatioque et pilorum contrectatio et extensio et si quae his sunt paria, talia fieri quidem constat, at non habent id causae genus quod propositum et cuius ergo diximus. Illa igitur, quae sic de improviso indeliberatoque fiunt, nullam habent in se dignam de qua loquamur diversitatem. Eorum vero quae ad aliud referuntur eiusque gratia fiunt, alia fiunt natura, alia ratione. Nam ea quae ortus sui causam habent naturam, per certos numeros ac gradus procedunt ad id quo destinantur: quod ubi consecuta sunt quae fiunt, desinunt fieri, nisi aliud aliquid de transverso interveniat et viam ad id quo tendunt interrumpat. Sed ea quae ratione fiunt aliquem habent finem propositum: neque enim

κείμενον τέλος ὁδῷ. Ἀλλὰ καὶ τὰ κατὰ λόγον [15]) γινόμενα [16]) ἔχει τι τέλος, οὐδὲν γὰρ ὡς ἔτυχε τῶν κατὰ λόγον γινομένων γίνεται, ἀλλ' ἐπί τινα σκοπὸν ἡ ἀναφορὰ πᾶσιν ἀυτοῖς. Ἔστι [17]) δὲ κατὰ λόγον γινόμενα, ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίνεται, λογιζομένων τε περὶ αὐτῶν καὶ συντιθέντων, καθ' ὃν ἂν τρόπον γένοιτο [18]). Οὕτω γίνεται τά τε κατὰ [19]) τὰς τέχνας γινόμενα πάντα καὶ κατὰ προαίρεσιν, ἃ διαφέρει τῶν γινομένων φύσει, τῷ τὰ μὲν φύσει γινόμενα ἐν ἁυτοῖς ἔχειν τὴν ἀρχήν τε καὶ αἰτίαν τῆς τοιαύτης γενέσεως (τοιοῦτον γὰρ ἡ φύσις) καὶ γίνεσθαι [20]) μὲν κατὰ τάξιν τινὰ, οὐ μὴν τῆς ποιούσης [21]) αὐτὰ φύσεως ὁμοίως ταῖς τέχναις λογισμῷ περὶ αὐτῶν χρωμένης. Τὰ δὲ γινόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν, ἔξωθεν ἔχει τὴν ἀρχὴν κινήσεως, καὶ τὴν αἰτίαν τὴν ποιοῦσαν, ἀλλ' ὀυκ ἐν αὐτοῖς. Καὶ τῆς γενέσεως αὐτῶν ὁ τοῦ ποιοῦντος ἡγεῖται περὶ αὐτῶν λογισμός [22]). Τρίτον δέ ἐστιν ἐν τοῖς ἕνεκά του γινομένοις [23]) καὶ τὰ ἀπὸ τύχης τε καὶ τἀυτομάτου [24]) γίνεσθαι πεπιστευμένα, ταύτῃ τῶν προηγουμένως [25]) ἕνεκά του γινομένων διαφέροντα, ᾗ ἐπ' ἐκείνων [26]) μὲν πᾶν τὸ πρὸ τοῦ τέλους γινόμενον τοῦ τέλους χάριν γίνεται, ἐπὶ δὲ τούτων, τὰ μὲν γινόμενα πρὸ τοῦ τέλους ἄλλου χάριν γίνεται, ἀπαντᾷ δ' αὐτοῖς ἄλλου χάριν γινομένοις, ὡς τέλος, τὸ αὐτομάτως τε [27]) καὶ ἀπὸ τύχης γίνεσθαι λεγόμενον.

E.

Τούτων δ' οὕτως ἐχόντων, καὶ πάντων τῶν γινομένον ἐις τούτους τοὺς τρόπους [1]) νεμεμημένων, ἀκόλουθον ἐπὶ τούτοις ἰδεῖν, ἐν ποίῳ [2]) τῶν ποιητικῶν αἰτίων χρὴ τιθέναι τὴν ἑιμαρμένην, ἆρά γε ἐν τοῖς οὐδενὸς γενομένοις χάριν; Ἢ [3]) τοῦτο μὲν παντάπασιν ἄλογον· ἀεὶ γὰρ ἐπὶ τέλους τινὸς τῷ τῆς ἑιμαρμένης ὀνόματι χρώμεθα, καθ' ἑιμαρμένην αὐτὸ λέγοντες γεγονέναι. Διὸ ἐν τοῖς ἕνεκά του γινομένοις ἀναγκαῖον [4]) τιθέναι

eorum quae ratione fiunt quicquam causa evenit: sed omnia illa quasi ad scopum aliquem diriguntur. Ratione autem fiunt, quaecumque fiunt a facientibus ea postquam deliberaverint, ac deinde constituerint quomodo quidque faciendum sit, qualia sunt quae ex arte fiunt aut praevia optione, quae notabiliter distant ab illis quae natura fiunt; nam quae natura fiunt intra se habent principium causamque unde exsistunt: tale est enim natura. Et fiunt eorum quaedam certo ordine non tamen quod effectrix natura circa ea tali utatur causarum alternatione, quali utuntur artes. At quae ex arte vel optione fiunt, extra se habent principium suae motionis et causam opificem, non intra ipsa: praeterea ad ea producenda causa opifex rationis examen adhibet. Tertium tandem eorum quae alicuius gratia fiunt locum habent ea quae forte aut casu evenire creduntur; quae differunt ab iis quae directe alicuius ergo fiunt, quod in his quicquid ante assecutionem propositi fit, id fit alius propositi gratia; in illis vero ea quae ante adeptionem fiunt, fiunt alterius rei adipiscendae gratia. Sed illis, dum rei alterius ergo fiunt, obviam fit vice propositi id, quod fortuna casuque fieri dicitur.

V.

Haec cum sic se habeant, et quae fiunt omnia in eas quas nuncupavimus classes sint distributa, consequens est videre in quem censum causarum opificum adscribi fatum debeat. An in eorum quae nullius ergo fiunt? At vero hoc perabsurdum est: semper enim cum propositi alicuius cogitatione Fati vocem ponimus quoties aliquod Fato dicimus provenire. Quare omnino Fatum circa ea collocandum est, quae

τὴν εἱμαρμένην [5]). Καὶ ἐπεὶ τῶν ἕνεκά του γινομένων τὰ μὲν γίνεται κατὰ λόγον, τὰ δὲ κατὰ φύσιν, ἢ ἐν ἀμφοτέροις αὐτοῖς τὴν εἱμαρμένην ἀναγκαῖον τίθεσθαι, ὡς πάντα τὰ γινόμενα καθ᾽ εἱμαρμένην γίνεσθαι λέγειν, ἢ ἐν θατέρῳ. Ἀλλὰ τὰ μὲν κατὰ λόγον γινόμενα τούτῳ δοκεῖ γίνεσθαι κατὰ λόγον, τῷ τὸν ποιοῦντα αὐτὰ καὶ τοῦ μὴ ποιεῖν ἔχειν ἐξουσίαν· τάτε γὰρ ὑπὸ τῶν τεχνιτῶν γινόμενα κατὰ τέχνην οὐκ ἐξ ἀνάγκης ὑπ᾽ αὐτῶν γίνεσθαι δοκεῖ, ούτω γὰρ [6]) ἕκαστον ποιοῦσιν αὐτοὶ [7]), ὡς καὶ τοῦ μὴ ποιεῖν αὐτὰ τὴν ἴσην ἔχοντες ἐξουσίαν. Ἔτι δὲ πῶς οὐκ ἄτοπον τὴν οἰκίαν, καὶ τὴν κλίνην καθ᾽ εἱμαρμένην λέγειν γεγονέναι, καὶ τὴν λύραν ἡρμόσθαι καθ᾽ εἱμαρμένην [8]); ἀλλὰ μὴν καὶ ὧν προαίρεσις κυρία, (ταῦτα δ᾽ ἐστὶν, ὅσα κατ᾽ ἀρετήν τε καὶ κακίαν πράττεται,) καὶ ταῦτα ἐφ᾽ ἡμῖν εἶναι δοκεῖ. Ἐι ἐφ᾽ ἡμῖν δὲ ταῦτα, ὧν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι ἡμεῖς εἶναι δοκοῦμεν κύριοι, τούτων δ᾽ οὐχ᾽ οἷόν τε λέγειν αἰτίαν τὴν εἱμαρμένην [9]) οὐδὲ ἀρχάς εἶναί τινας, καὶ αἰτίας ἔξωθεν προκαταβεβλημένας τοῦ πάντως ἢ γενέσθαι τι αὐτῶν ἢ μὴ γενέσθαι. Ὀυκέτι γὰρ ἂν εἴη τὶ τούτων ἐφ᾽ ἡμῖν, ει γένοιτο [10]) τοῦτον τὸν τρόπον.

ΣΤ.

Λείπεται δὴ λοιπὸν τὴν εἱμαρμένην ἐν τοῖς φύσει γινομένοις εἶναι λέγειν, ὡς εἶναι ταὐτὸν εἱμαρμένην τε καὶ φύσιν· τό τε γὰρ εἱμαρμένον κατὰ φύσιν, καὶ τὸ κατὰ φύσιν, εἱμαρμένον· οὐ γὰρ κατὰ φύσιν μέν ἐστιν ἄνθρωπον ἐξ ἀνθρώπου καὶ ἵππον ἐξ ἵππου γίνεσθαι, καθ᾽ εἱμαρμένην δὲ οὔ [1]), ἀλλὰ συνοδεύει τὰ αἴτια ταῦτα ἀλλήλοις, ὡς ἂν ἔχοντα κατὰ τοὔνομα μόνον τὴν διαφοράν. Διὸ καὶ τὰ πρῶτα τῆς κατὰ φύσιν ἑκάστοις γενέσεως αἴτια τὰ θεῖα καὶ ἡ τούτων εὔτακτος περιφορὰ καὶ τῆς εἱμαρμένης δὲ αἴτια λέγουσι τὰ αὐτά [2]). Πάσης γὰρ γενέσεως ἀρχὴ ἡ τῶν θείων κατὰ κίνησιν ποία σχέσις πρὸς τὰ τῇδε [3]). Ὀύσης δὲ τῆς εἱμαρμένης ἐν τούτοις

alicuius rei ergo fiunt. Ac quando eorum, quae ad propositum destinantur, alia fiunt natura, alia ratiocinatione, an ponendum Fatum circa utraque haec versari, ita ut omnia quae sic fiunt, Fato fieri dicantur, an circa horum alterum genus? Sed enim quae ratiocinatione fiunt, ideo videntur dici ratiocinatione fieri, quia is qui fecit etiam non faciendi habuit potestatem. Nam quae ab artificibus secundum artes fiunt, ea non videntur ex necessitate ulla fluere. Ita quippe singula faciunt artifices, ut et non faciendi habeant arbitrium. Et quomodo non sit inconveniens dicere domum aut lectum fato facta, aut citharam fato temperari? Sed quorum domina est optio praevia, (id est quae cum virtute aut vitio fiunt,) ea quoque videntur esse nostri iuris. Quod si nostrae sunt potestatis ea, ad quae agenda aut non agenda domini sumus, non potest dici Fatum talium esse causa, neque causas et principia externa esse proiecta, per quae talia inevitabiliter fierent. Nam id si esset, iam in nostro arbitrio non esset, ut ista essent aut fierent.

VI.

Restat ut dicatur Fati vis sita in iis quae natura fiunt, ita ut idem sit natura ac Fatum. Nam quicquid fatale est, id ex natura est, et quicquid ex natura, fatale: neque naturale est hominem ex homine et equum ex equo nasci, ut non idem sit fatale. Sed comitantur istae efficientiae altera alteram, ut quae appellatione sola differant: quare et primae causae originis rei cuiusque secundum naturam dicuntur esse divinae naturae (astra) et earum ordinata circumactio, eademque dicuntur Fati esse causae. Omnis quippe ortus initium est divinarum naturarum dum moventur, certus quidam habitus ad res infernas.

καὶ τοιαύτης [4]), ἀναγκαῖον ὡς ἂν ἔχῃ τὰ γινόμενα κατὰ φύσιν, οὕτως ἔχειν καὶ τὰ καθ' εἱμαρμένην. Ἀλλὰ μὴν [5]) τὰ γινόμενα κατὰ φύσιν οὐκ ἐξ ἀνάγκης γίνεται, ἀλλ' ἔστιν ἡ γένεσις τῶν οὕτω γινομένων ἐμποδιζομένη, διό ποτε μὲν ὡς ἐπὶ τὸ πλεῖστον γίνεται [6]) τὰ γινόμενα κατὰ φύσιν, οὐ μὴν ἐξ ἀνάγκης, χώραν γὰρ ἐν αὐτοῖς ἔχει καὶ τὸ παρὰ φύσιν, καὶ γίνεται ὑπό τινος αἰτίας ἔξωθεν παρεμποδισθείσης [7]) τῆς φύσεως εἰς τὸ ἔργον τὸ ἑαυτῆς. Διὸ οὔτε ἐξ ἀνάγκης ἄνθρωπος ἐξ ἀνθρώπου [8]) ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον· ὥστε καὶ [9]) κατὰ τὴν ὡρίσθαι δοκοῦσαν προθεσμίαν τοῖς γινομένοις κατὰ φύσιν, ἕκαστον τῶν οὕτω γινομένων οὐκ ἀεὶ γίνεται [10]). Ὄντος δὲ ἐν τοῖς γινομένοις κατὰ φύσιν καὶ τοῦ παρὰ φύσιν [11]), ὥσπερ καὶ ἐν τοῖς κατὰ τέχνην [11 a]), χώραν ἂν ἔχοι καὶ ἐν τοῖς κατὰ τὴν εἱμαρμένην γινομένοις τὸ παρὰ τὴν εἱμαρμένην. Ὥστε εἰ χώραν ἔχει [12]) τὸ παρὰ φύσιν καὶ μὴ κενόν ἐστιν ὄνομα, ἔχοι ἂν ἐν τοῖς γινομένοις χώραν καὶ τὸ παρὰ τὴν εἱμαρμένην. Διὸ καὶ λέγοι τις ἂν εὐλόγως τὴν οἰκεῖαν φύσιν ἀρχὴν ἑκάστου καὶ αἰτίαν εἶναι τῆς τῶν γινομένων ἐν αὐτῷ κατὰ φύσιν τάξεως. Ἀπὸ ταύτης γάρ, ὡς ἐπὶ τὸ πλεῖστον οἵ τε βίοι τῶν ἀνθρώπων τὴν τάξιν καὶ τὴν καταστροφὴν [13]) λαμβάνουσιν. Ὁρῶμεν γοῦν [14]) ὅτι καὶ τὸ σῶμα τῷ τοιὸν ἢ τοιὸν εἶναι τὴν φύσιν, καὶ ἐν νόσοις καὶ φθοραῖς [15]) ἀκολούθως τῇ φυσικῇ συστάσει [16]) γίνεται, οὐ μὴν ἐξ ἀνάγκης [17]), ἱκαναὶ γὰρ ἐκκροῦσαι τὴν τοιάνδε τάξιν ἐπιμέλειαί τε καὶ ἀέρων [18]) ὑπαλλαγαὶ καὶ προστάξεις ἰατρῶν καὶ συμβουλαὶ [19]). Θεῶν. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν κατὰ τὴν φυσικὴν κατασκευὴν [20]) διαφόρους γινομένας ἑκάστῳ τάς τε προαιρέσεις καὶ τὰς πράξεις καὶ τοὺς βίους [20 a]). Ἦθος γὰρ ἀνθρώπῳ [21]) δαίμων, κατὰ τὸν Ἡράκλειτον, τουτέστι φύσις. Ὡς ἐπὶ τὸ πλεῖστον [22]) γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσι, τάς τε πράξεις καὶ τοὺς βίους καὶ τὰς καταστροφὰς αὐτῶν

Quod si in illis est Fatum et sic se habet, consequens est ut quomodo se habent quae per naturam fiunt, sic se habeant et quae Fato fiunt. At vero quae natura fiunt, non plane ita necessario fiunt: saepe enim impediuntur ortus eorum quae sic fieri solent. Sed sunt quae natura fiunt ex eorum numero, quae plerumque sic eveniunt; non tamen mera necessitate. Locum enim in istis habent et, quaedam quae praeter naturam accidunt; quod evenit, ubi natura per causam extraneam prohibetur opus suum peragere. Quo fit, ut non necessario ex homine homo oriatur, sed plerumque: unde in illis quae sic per naturam fiunt, ut videantur leges habere plane definitas, eorum quae sic fiunt, singula non semper fiunt. Cum vero in iis quae natura fiunt, aliquid sit praeter naturam, ut et in artis operibus, hoc itidem locum habere debet in iis quae Fato fiunt, nempe ut sit aliquid praeter Fatum. Et si praeter naturam fieri quae dicuntur, non vano nomine sic dicuntur, sequitur, ut idem sit de iis quae praeter Fatum dicuntur fieri. Nec ratione aberret, qui dixerit propriam cuiusque naturam causam esse et principium connexus eorum, quae a quoque secundum naturam fiunt. Ab illa enim ut plurimum vitae hominum suam seriem exitumque accipiunt. Videmus quippe eo quod corpus tali aut tali est concretione, et quae in morbis et morte eveniunt, ea fieri convenienter cum naturali compactione, non tamen in omnibus eodem modo, neque plane necessario. Valent enim talem connexum immutare cura victus, caeli mutatio, medicorum praecepta, Deorum consilia. Pari modo reperies etiam in animo secundum naturalem conformationem varios contingere rerum dilectus et actus et vitae modos. Mores enim homini cuique sunt Genius, ut ait He-

ἀκολούθους [23]) ἰδεῖν ἐστί. Τῷ μὲν γὰρ φιλοκινδύνῳ καὶ θρασεῖ φύσει βίαιός τις καὶ ὁ θάνατος [23 a]) ὡς ἐπὶ τὸ πλεῖστον, αὕτη γὰρ [24]) ἡ τῆς φύσεως εἱμαρμένη· τῷ δὲ [25]) ἀκολάστῳ τὴν φύσιν, τό τε ἐν ἡδοναῖς τοιαύταις καταζῆν, καὶ ὁ τῶν ἀκρατῶν βίος, ἀλλ᾽ εἴ τι [26]) κάλλιον ἐν αὐτῷ γενόμενον ἐκστῇ [27]) τοῦ κατὰ φύσιν, αἱ τῶν πόνων ὑπομοναὶ [27 a]) καὶ αἱ κακοπάθειαι, καὶ ἐν τοῖς [28]) τοιούτοις τοῦ βίου καταστροφαὶ πάλιν εἰσὶ καθ᾽ εἱμαρμένην. Καὶ τοῖς ἀνελευθέροις δὲ τὴν φύσιν καὶ ἀπλήστοις περὶ κτῆσιν χρημάτων καὶ τὰ τῆς εἱμαρμένης συνῳδά· ἐν ἀδικίαις γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον ὁ τῶν τοιούτων βίος, καὶ ἡ τοῦ βίου δὲ καταστροφὴ τοῖς κατ᾽ αὐτὰ πράττουσιν ἀκόλουθος [29]). Διὸ καὶ ἐπιλέγειν εἰώθασι τοῖς τοιούταις, ὅταν ἐν ταῖς ἀκολούθοις τε [30]) τοῦ βίου καὶ καθ᾽ εἱμαρμένην [31]) περιστάσεσιν ὦσιν, ὡς ἑαυτοῖς γεγονόσιν αἰτίοις [32]) τῶν παρόντων αὐτοῖς κακῶν. Καὶ τοῦτ᾽ ἄν τις παρίστασθαι βουλόμενος τοῖς τὰς μαντείας ἐπαγγελλομένοις, τοῦ μὴ πάντα [33]) αὐτοῖς ἐπιτυγχάνειν, φέροι [34]) τὸ αἴτιον, μὴ πάντα τὴν φύσιν ἑκάστου καὶ τὴν εἱμαρμένην ἐνοδεῖν, ἀλλὰ γίνεσθαί τινα καὶ παρ᾽ αὐτὴν, εἶναι δὲ τοὺς μάντεις μηνυτὰς [35]) τῶν γινομένων καθ᾽ εἱμαρμένην, ὥσπερ οὖν καὶ τοὺς φυσιογνώμονας. Εἰπόντος γοῦν Ζωπύρου [36]) τοῦ φυσιογνώμονος περὶ Σωκράτους τοῦ φιλοσόφου ἄτοπά τινα καὶ πλεῖστον ἀφεστῶτα τῆς προαιρέσεως αὐτοῦ τῆς κατὰ τὸν βίον, καὶ ἐπὶ τούτοις ὑπὸ τῶν περὶ τὸν Σωκράτην καταγελωμένου, οὐδὲν, εἶπεν ὁ Σωκράτης, ἔψευσθαι [37]) τὸν Ζώπυρον, ἦν γὰρ ἂν τοιοῦτος, ὅσον ἐπὶ τῇ φύσει, εἰ μὴ διὰ τὴν ἐκ φιλοσοφίας ἄσκησιν ἀμείνων τῆς φύσεως ἐγένετο. Καὶ αὕτη μὲν ἡ περὶ [38]) εἱμαρμένης, ὡς ἐν κεφαλαίῳ [39]) εἰπεῖν,, κατὰ τοὺς ἀπὸ τοῦ περιπάτου δόξα [40]).

Ζ.

Ἡ δὲ κατασκευὴ τῶν εἰρημένων ἔσται φανερωτέρα, παρατιθέντων ἡμῶν ταῖς προηγουμέναις τῶν κειμένων

raclitus, id est natura. Ferme enim quippe naturali fabricae et dispositioni consentaneos videas actus vitasque et exitus. Nam et ei qui natura sit violentus et periculorum amans, solet et mors esse violenta. Hoc enim naturae fatum est. Sic ei, qui natura sit intemperans, fatale per eas quas amat voluptates enervari, nisi melius quiddam superveniens eum a naturali statu transferat. Patientis vero ingenii fatum est duros labores et adversa ferre et in his vitam finire. Avaris vero et circa possessionem rerum insatiabilibus fatalia sunt, quae talibus moribus conveniunt: plerumque enim in actionibus iniustis eiusmodi hominum vita versatur, soletque vitae finis eis esse, qualis iniustis convenit. Unde et dici de talibus solet ubi in ea cecidere, quae vitae tali respondent, id est in fatalia mala, ipsos illos sibi talium malorum fuisse causas. Sic propterea si quis excutere velit eos, qui imminentium praedictionem pollicentur, de eo quod non semper dicta probat eventus, causam dicit esse, quod non omnia secundum naturam et fatum cuiusque procedunt, sed quaedam etiam praeter ista eveniunt; esse vero vates ut et eos qui ex corporum aspectu de homine iudicant, significatores eorum quae Fato fiunt. Inter illos ex corporis aspectu divinantes fuit Zopyrus, qui cum aspecto Socrate multa de eo diceret inhonesta, et a vitae eius instituto alienissima, et ob id ab adstantibus discipulis Socratis irrideretur, Socrates nihil mentitum esse dixit Zopyrum; nam se natura futurum fuisse talem, nisi naturae vitium sapientiae studio correxisset. Et haec quidem in summa Scholae Peripateticae de Fato sententia est.

VII.

Apertior autem erit iam dictorum fides, si post eorum quae defendimus probationem subiungamus ab-

ἀποδείξεσι τὰ ἑπόμενα ἄτοπα τοῖς πάντα καθ᾽ εἱμαρμένην γίνεσθαι λέγουσιν. Μιγνύντες γὰρ οὕτω τῇ τὸν λόγον τε τῶν δοξῶν παραλλήλῳ [1]) θέσει, γνωριμώτερον τἀληθὲς ποιήσομεν. Καὶ πρὸς τούτῳ [2]) οὐχ ἕξομεν ἀνάγκην μεμνῆσθαι τῶν αὐτῶν πολλάκις. Εὐλόγως γὰρ ἄν τις ἀπορήσειε, πῶς φιλοσοφεῖν τινες λέγονται, καὶ τὴν ἀλήθειαν τὴν ἐν τοῖς οὖσι μετέρχεσθαι, καὶ ταύτην [3]) τῶν ἄλλων ἀνθρώπων πλέον ἔχειν τοὺς φιλοσοφοῦντας ὑπολαμβάνοντες [4]), καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἐπὶ τοῦτο προτρέποντες, ἐπέδοσαν αὐτοὺς [5]) τῇ δόξῃ, τῇ πάντα ἐξ ἀνάγκης τε καὶ καθ᾽ εἱμαρμένην γίνεσθαι λεγούσῃ; ἐφ᾽ ἣν μόνους ὁρῶμεν καταφεύγοντας τῶν ἰδιωτῶν [6]), τοὺς οὐδὲν αὐτοῖς συνειδότας δεξιὸν, ἐπὶ τὴν εἱμαρμένην ἀφ᾽ αὐτῶν τὴν αἰτίαν τῶν περιεστώτων αὐτοὺς [7]) κακῶν μεταφέροντας, δόξῃ οὔτε τοῖς ἐναργέσι συναδούσῃ, οὔτε τινὰς πιστὰς ἀποδείξεις τοῦ οὕτως ἔχειν ἐχούσῃ [8]), προςέτι τε ἀναιρούσῃ τὸ εἶναί τι [9]) ἐφ᾽ ἡμῖν. Οὗ πιστευθέντος τίς ἂν ἄλλη μείζων ἐκ λόγων γίνοιτο ζημία; Ὅτι μὲν γὰρ παρὰ τὰ ἐναργῆ, δῆλον ἐκ τοῦ πεπιστεῦσθαι μὲν σχεδὸν ὑπὸ πάντων ἰδιωτῶν τε καὶ φιλοσόφων τὸ γίνεσθαί τινα καὶ αὐτομάτως καὶ ἀπὸ τύχης, εἶναι δέ τινα τῶν γινομένων καὶ ἐνδεχομένως γινόμενα καὶ ἔχειν τινα χώραν ἐν τοῖς οὖσι, καὶ τὸ μηδὲν μᾶλλον τόδε τοῦδε [10])· τούτων δὲ μηδὲν σώζεσθαι κατὰ τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας, εἴγε σώζειν μὲν αὐτά ἐστι, τὸ ἐφ᾽ οἷς σημαινομένοις τὰ ὀνόματα κεῖσθαι πεπίστευται, ταῦτα μὴ κινεῖν. Οὐ γὰρ τὸ ἄλλά τινα ὑποβάλλοντα σημαινόμενα τοῖς ὀνόμασι, διὰ τοῦ μένειν ἐκεῖνα, μένειν ἡγεῖσθαι καὶ τὰ προειρημένα, σωζόντων ἐστὶ τὰ κείμενα. Οὐ γὰρ σώζεται τὸ γίνεσθαί τινα ἀπὸ τύχης [11]), ἂν ἀνελὼν τις τὴν τῶν οὕτω γινομένων φύσιν, ὄνομα θῆται τοῖς γινομένοις ἐξ ἀνάγκης τὴν τύχην, ἀλλ᾽ ἂν αὐτὰ δεῖξαι δυνηθῇ σώζεσθαι [12]), ἐφ᾽ ὧν τὸ τῆς τύχης ὄνομα κατηγορεῖσθαι [13]) πεπίστευται.

sona illa, quibus implicantur ii qui cuncta Fato aiunt fieri. Sic enim permixto sermone comparando inter se opiniones diversas, id quod verum est, magis ponetur in conspicuo: et non erit nobis necesse saepe eadem repetere. Merito sane miretur aliquis, quomodo quidam dicant se philosophari et latentem in rebus veritatem indagare, (et hoc esse existimant, quod supra alios homines philosophi praecipuum habent, unde et ad idem studium hortantur alios) qui se addixerint opinioni cuncta Fato fieri autumanti? ad quam confugere solos videmus homines illiteratos, nulliusque honestae rei sibi conscios, qui scilicet in Fatum transmovent culpam malorum, in quae ipsi devenere; quae sententia neque rebus evidentibus congruit, nec fide dignas habet ostensiones cur res sic se habere credatur: praeterea tollit omnem in volendo libertatem. Quod enim maius ex disputationibus damnum accipi potest, quam si ista admittatur sententia? Pugnare eam cum rebus evidentibus eo patet, quod et rudibus et sapientibus persuasum sit, quaedam esse quae casu aut forte fiunt, praeterea esse quaedam ancipitia, quae fieri possint et possint non fieri, et locum habere in rebus istud nihilo magis hoc quam illud necesse est. Quae omnia tueri nequeunt illi qui cuncta fieri aiunt vi necessitatis, si nimirum id vocamus tueri res, non mutare ea, ad quas significandas vocabula ista reperta sunt. Neque enim alios significatus nominibus subiicere, ut illis manentibus res manere videantur, id vere tueri est, quae recepta sunt. Neque enim salvum manet, quaedam forte fieri apud eum, qui rem ipsam tollens necessario evenientibus nomen dat fortuitorum: sed probandum illi erat ipsa illa posse a se defendi, de quibus fortuitorum nomen usurpari solet.

Η.

Λέγεται δὴ πρὸς ἁπάντων ἀνθρώπων, κοιναῖς τε καὶ φυσικαῖς ἐννοίαις ἐμμενόντων, ταῦτα ἀπὸ τύχης τε καὶ τοῦ αὐτομάτου γίνεσθαι, ἃ αἰτίαις ἄλλων τινῶν ποιητικαῖς προηγουμέναις [1]) ἐπιγίνεται. Ὅταν γὰρ ἄλλου τινὸς χάριν γινομένῳ τινὶ μὴ τοῦτο ἀπαντήσῃ, οὗ χάριν ἐγένετο, ἄλλο δὲ, ὃ τὴν ἀρχὴν μηδὲ ἠλπίζετο, τοῦτο ἀπὸ τύχης λέγεται γεγονέναι, καθ᾽ αὑτὸ μὲν γεγονὸς ἀναιτίως, κατὰ συμβεβηκὸς δ᾽ ἐσχηκὸς αἴτιον τὸ γενόμενον ἐπ᾽ ἄλλου γενέσει τινός. Καὶ ὅτι τοιοῦτόν τι λέγουσι πάντες τὸ γινόμενον ἀπὸ τύχης [2]), δῆλον ἐξ ὧν ὑποβάλλουσι σημαινομένων [3]), οἷς ἀπὸ τύχης φασὶ γίνεσθαι. Θησαυρόν τε γάρ φασιν ἀπὸ τύχης εὑρηκέναι τινὰ [4]), ἂν ἄλλου χάριν ὀρύσσων τίς τινος [5]), ἀλλ᾽ οὐ τοῦ θησαυρὸν εὑρεῖν, θησαυρῷ περιπέσῃ. Ὁ μὲν γὰρ τούτου χάριν ὀρύσσων, οὐκ ἀπὸ τύχης· οὗ γὰρ χάριν ὤρυσσε, τοῦτο ἀπήντησεν αὐτῷ· ᾧ δὲ μηδὲν τῆς εὑρέσεως τοῦ θησαυροῦ ἔμελε, ποιοῦντι δὲ ἄλλου τινὸς χάριν, ἡ εὕρεσις ἀπήντησεν, ὡς τέλος ἐκείνου, τοῦτον ἀπὸ τύχης τὸν θησαυρὸν εὑρηκέναι πάντες λέγουσιν. Ἀλλὰ καὶ τὸ ἀργύριον ἀπὸ τύχης κεκομίσθαι τινὰ λέγουσιν, ὅταν εἰς τὴν ἀγορὰν προελθὼν ἄλλου τινὸς χάριν ἀργύριον ἔχοντι περιπεσὼν τῷ χρεωστῇ, τὸ ὀφειλόμενον αὐτῷ λάβῃ· τῷ γὰρ προελθεῖν εἰς τὴν ἀγορὰν ἄλλο τι προηγούμενον τέλος ἔχοντι, τὸ προοφειλόμενον λαβεῖν [6]) ἀπήντησεν, ὡς τέλος κατὰ συμβεβηκὸς αὐτῷ γινόμενον, τὸ μὲν ποιητικὸν αἴτιον, τὸ δὲ τούτου τέλος [7])· οὐ γὰρ ἀπὸ τύχης ἔτι λέγεταί τις τὸ ὀφειλόμενον εἰληφέναι, εἰ τούτου χάριν εἰς τὴν ἀγορὰν προῆλθεν, ὅτι τὸ προκείμενον αὐτῷ τέλος ἡ πρόοδος ἔσχεν [8]). Καὶ ὁ ἵππος δὲ αὐτομάτως τισὶ λέγεται σεσῶσθαι, ὅταν τροφῆς μὲν ἐλπίδι, ἢ ἄλλου τινὸς χάριν, ἀποφύγῃ τοὺς κατέχοντας αὐτὸν, ἀπαντήσῃ δὲ αὐτοῦ τῇ φυγῇ καὶ τῷ δρόμῳ τὸ τοῖς δεσπόταις περιπεσεῖν. Καὶ τί δεῖ [9]) ὑμῖν πλείω παραδείγματα κατατίθεσθαι ἢ

VIII.

At omnibus certe hominibus, qui communibus ac naturalibus notitiis adhaerent, illa dicuntur casu et forte fieri, quae consequuntur causas alterius rei principaliter effectrices. Quoties enim alicui rei, quae fit propter aliquid, non id comitatur, cuius gratia res illa suscepta est, sed aliud quid nec speratum, id fortuna fieri dicitur: per se quidem ortum sine causa: per contingens autem causam habens id quod alterius rei ergo fiebat. Et hoc esse quod omnes intelligunt, cum aliquid fortuna dicunt fieri, apparet ex iis, quae isti generi supponi solent exemplis. Nam thesaurum aiunt forte fortuna inventum, si quis fodiens alterius utilitatis respectu, non ut thesaurum reperiret, thesaurum invenit. Nam qui thesauri quaerendi causa foderit, is si eum reperiet, non id adscribet fortunae: evenit enim ei hoc, cuius spe fodiendi laborem susceperat. At si quis de thesauro quaerendo ne cogitaverit quidem, ei autem aliud agenti ita contigerit thesaurum reperire, quasi id sibi habuisset propositum, ab hoc forte fortuna repertum thesaurum dicunt omnes, et forte fortuna reportasse pecuniam dicitur, qui cum ob aliud negotium in forum prodiisset, obvio sibi facto debitore pecuniam secum habente, ab eo quod sibi antea debebatur receperit. Nam cum in forum processio aliud sibi habuisset propositum, tamen ista crediti receptio ita commode ei evenit, quanquam accessorie, ut pro proposito ipsi cesserit causa effectrix, et aliud eius propositum. Contra vero non dicitur forte fortuna quis creditum recepisse, si animo id recipiendi in forum processerit. Processio enim ista id erit consecuta quod sibi proposuerat. Et equus casu servatus dicitur, si is pabulationis aut alterius rei causa effugerit possessores, acciderit autem ut in

ἀκριβολογεῖσθαι περὶ τῶν προειρημένων, ἱκανὸν γὰρ ὡς πρὸς τὰ προκείμενα τὸ δεῖξαι, ἐφ᾽ ὧν σημαινομένων τὰ ὀνόματα κατηγορεῖται [10]) τὰ εἰρημένα. Ὄντων δὲ τῶν ἀπὸ τύχης τε καὶ αὐτομάτως γινομένων τοιούτων, ὡς μὴ γίνεσθαι κατὰ προηγουμένην αἰτίαν (τῶν γὰρ σπανίως ἐπὶ τοῖς πρὸ αὐτῶν γεγονόσιν ἀπαντώντων [11]), τό τε [12]) αὐτόματον καὶ ἡ τύχη) πῶς ἂν σώζοιτό τι τῶν προειρημένων, καθ᾽ οὓς πάντα προηγησαμένοις τισὶν αἰτίοις, καὶ προηγουμένοις ἐξ ἀνάγκης ἔστι τε τὰ ὄντα καὶ τὰ γινόμενα γίνεται, ἑκάστου τῶν γινομένων αἰτιόν τι προκαταβεβλημένον ἔχοντος [13]), οὗ ὄντος ἢ γεγονότος ἀνάγκη καὶ αὐτὸ ἢ εἶναι ἢ γίνεσθαι, τοὺς μηδὲν [14]) μὲν σώζοντας τῶν προειρημένων, κατ᾽ ἄλλου δέ τινος τὸ τῆς τύχης νομοθετήσαντες ὄνομα; τὸ γὰρ [15]) μὴ ἀναιρεῖσθαι ἐκεῖνα [16]) ὑπὸ τοῦ πάντα ἐξ ἀνάγκης γίνεσθαι τιθεμένου, μηδὲ τὴν τύχην καὶ ἀναιρεῖσθαι [17]) λέγειν, σοφιζομένων ἐστὶν ὁμοίως αὑτούς τε καὶ τοὺς ἀκούοντας [18]) αὐτῶν. Οὕτω μὲν γὰρ οὐδὲν κωλύσει [19]) λέγειν ταυτὸν εἱμαρμένην τε εἶναι καὶ τύχην, καὶ τοσοῦτον ἀποδεῖν [20]) τοῦ τὴν τύχην ἀναιρεῖν, ὡς καὶ πάντα τὰ γινόμενα [21]) γίνεσθαι λέγειν ἀπὸ τύχης. Ἀλλ᾽ οὐκ ἐπὶ τῷ τοὔνομα σώζειν [22]) τὸ τῆς τύχης εἶχον τὴν αἰτίαν, ἀλλ᾽ ἐπὶ τῷ ἀναιρεῖν τὸ οὕτω γίνεσθαί τινα, ὧν τὸ ἀπὸ τύχης τε καὶ αὐτόματον [23]) γίνεσθαι κατηγορεῖται. Τί γὰρ ἄλλο ποιοῦσιν, οἱ τὴν τύχην καὶ τὸ αὐτόματον ὁριζόμενοι αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ, ἢ τύχης τὶ σημαινόμενον ἴδιον εἰσάγουσί τε καὶ νομοθετοῦσι; τὸ γὰρ εἰς τὴν τούτου σύστασιν χρήσασθαι τῷ λέγειν τινὰς αὐτομάτως νοσεῖν, ὅταν ἄδηλος ᾖ αὐτοῖς ἡ αἰτία τῆς νόσου, ψεῦδος. Οὐ γὰρ ὡς οὔσης μέν τινος αἰτίας, ἀδήλου δὲ αὐτοῖς, οὕτω λέγουσιν, ἀλλ᾽ ἐφ᾽ ὧν ἀναιτίως γεγονέναι πείθουσιν αὐτούς, ἐπὶ τούτων τὸ αὐτόματον κατηγοροῦσιν. Οὐ δεῖ γὰρ [24]) ἐφ᾽ οὗ ζητοῦσι τὴν αἰτίαν, ὡς οὔσης, αὐτομάτως αὐτὸ γεγονέναι λέγειν, ἀλλ᾽ οὐδ᾽ ὃ [25]) πέπεισταί τις

fuga et cursu dominis suis fieret obvius. Quid vero opus plura adferre exempla, aut minutiora ista exsequi? Satis enim quantum instituto convenit, ostensum est quo intellectu ista vocabula usurpentur. Cum ergo quae fortuna quaeque casu fiunt, talia sint ut non fiant ex antecedente causa principali (sunt enim casus et fortuna in iis posita, quae raro antecedentibus superveniunt,) quomodo eorum quae diximus quicquam poterit defendi ex eorum sententia, qui omnia quae sunt quaeque fiunt existere credunt ex antepositis necessitatemque adducentibus causis, ita ut quicquid fit, ibi etiam alterum illud quin sit, causam iam habeat anteiactam, quae ubi ést aut fit, ibi etiam alterum illud quin sit aut fiat effugi nequeat? Deinde dicere ideo, quod nomen fortunae non tollatur ab iis, qui cuncta necessitate ineluctabili fieri existimant, et ipsam quoque fortunam ab iis non tolli, et semet et auditores cavillatorie ludificantium est. Id enim si admittatur, nihil prohibebit dicere idem esse Fatum et fortunam, tantumque abesse ut qui ita sentiat, fortunam tollat, ut etiam cuncta quae fiunt, forte fortuna dicat fieri. Sed enim suffiicit quod illa tollat, ad quae significanda casus et fortunae vocabula usurpari solent. Quid enim agunt aliud qui fortunam et casum definiunt causam humanae rationi latentem, aut etiam quandam significationem ipsis propriam ac peculiarem fortunae voci pro arbitrio imponunt. Nam quod quidam, ut hanc novam locutionem tueantur, aiunt casu aliquem aegrotare, ubi ignota est mali causa, id falsum est. Nam non ita loquuntur homines, ubi est quidem causa, sed ipsis ignota; sed quae putant sine causa sibi accidere, de iis casus nomen usurpant. Neque sane recte dicatur casu quippiam evenisse ubi causa creditur esse, sed quae sit quaeritur: sed quod quis credit

χώραν ἔχει, ὡς καὶ αὐτὸ τὸ ὁπότερ᾽ ἔτυχε λεγόμενον ποιεῖ γνώριμον, τὰ δ᾽ ἐξ ἀνάγκης [2]) οὐκ ἐνδέχεται μὴ γίνεσθαι. Λέγω δὲ [3]) τὸ ἀναγκαῖον οὐκ ἐπὶ τοῦ βίᾳ γινομένου, μηδὲ κατὰ τούτου τὶς εὐθυνέτω τοὔνομα, ἀλλ᾽ ἐπὶ τῶν φύσει γινομένων [4]) ὑπό τινων, ὧν τὰ ἀντικείμενα ἀδύνατον εἴη γενέσθαι [5]). Καί τοι πῶς οὐκ ἄτοπα καὶ παρὰ τὰ ἐναργῆ καὶ μέχρι τούτων τὴν ἀνάγκης προεληλυθέναι λέγειν, ὡς μήτε κινηθῆναί τινα δύνασθαι κίνησίν τινα, μήτε κινῆσαί τι τῶν αὐτοῦ μερῶν [6]), ἣν κίνησιν καὶ μὴ κινεῖσθαι τότε [7]) οἷόν τε ἦν, ἀλλὰ τὴν τυχοῦσαν τοῦ τραχήλου περιστροφὴν, καὶ τὴν δακτύλου [8]) τινὸς ἔκτασιν, καὶ τὸ ἐπᾶραι τὰ βλέφαρα ἤ τι τῶν τοιούτων, προηγουμέναις τισὶν αἰτίαις ἑπόμενον, ἀλλ᾽ ὡς ὑφ᾽ ἡμῶν μὴ δύνασθαι γίνεσθαί ποτε; καὶ ταῦτα ὁρῶντας ἐν τοῖς οὖσί τε καὶ γινομένοις πολλὴν οὖσαν διαφορὰν τῶν πραγμάτων, ἐξ ἧς ῥᾴδιον ἦν μαθεῖν, ὅτι μὴ πάντα ἐνδέδοται [9]) ταῖς τοιαύταις αἰτίαις. Ὁρῶμεν γοῦν τῶν ὄντων [10]), τὰ μέν τινα οὐδεμίαν ἔχοντα δύναμιν τῆς εἰς τὸ ἀντικείμενον τοῦ ἐν ᾧ ἐστι, μεταβολῆς, τὰ δὲ οὐδὲν μᾶλλον αὐτῶν ἐν τῷ ἀντικειμένῳ, ἢ ἐν ᾧ ἐστιν, εἶναι δυνάμενα· πῦρ μὲν γὰρ οὐχ οἷόντε δέξασθαι ψυχρότητα, ἥτις ἐστὶν ἐναντία τῇ συμφύτῳ θερμότητι [11]), ἀλλ᾽ οὐδὲ χιὼν δέξαιτ᾽ ἂν θερμότητα, χιὼν μένουσα, ὕδωρ δὲ, κἂν ᾖ ψυχρὸν, οὐκ ἀδύνατον ἀποβάλλον ταύτην, δέξασθαι τὴν ἐναντίαν αὐτῇ θερμότητα. Ὁμοίως δὲ καὶ τῷ αὐτῷ [12]) δυνατὸν καὶ τὸν καθεζόμενον στῆναι, καὶ τὸν κινούμενον ἠρεμῆσαι, καὶ τὸν λαλοῦντα σιγῆσαι, καὶ ἐπὶ μυρίων εὕροι τις ἂν δύναμίν τινα ἐνυπάρχουσαν τῶν ἐναντίων δεκτικὴν, ὧν εἰ τὰ ἐξ ἀνάγκης ὄντα ἐν θατέρῳ οὐκ ἔχει δύναμιν τοῦ δέξασθαι τοῦ ἐν ᾧ ἐστι, τὸ ἐναντίον, οὐκ ἐξ ἀνάγκης ἂν εἴη ἐν οἷς ἐστι τὰ καὶ τοῦ ἐναντίου αὐτοῖς δεκτικά. Εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἐνδεχομένως. Τὸ δὲ ἐνδεχομένως [13]) ἔν τινι οὕτως ἐστὶν ἐν αὐτῷ, ὡς οὐκ ἐξ ἀνάγκης, ἀλλ᾽ ὡς ἐνδεχομένως ἐν αὐτῷ γεγονός [14]).

fieri et non fieri, quod et voces illae utrocumque res ceciderit, ostendunt. At vero quae ex necessitate fiunt, ea non possunt non fieri. Vocem autem necessarii non hic usurpo de iis, quae per violentiam fiunt, nec quisquam ita hoc nomen accipere debet, sed de iis quae naturaliter ab aliquibus fiunt, quorum contraposita fieri nequeunt. Et quomodo non absonum sit et contra rei evidentiam velle eo usque necessitatem extendere, ut nulla motio dicatur fieri, nullum membrum moveri, (quae motio potuerit non fieri hoc in temporis articulo,) sed qualemcumque colli conversionem, aut extensionem digiti, aut elevationem palpebrarum, et si qua sunt his similia, consequi ex causis antegressis, a nobis autem nostro arbitrio fieri nunquam posse? Et haec ab iis dicuntur, qui vident in his quae sunt fiuntque, innumeras esse rerum diversitates, unde promtum sit discere non omnia subiacere talibus causis. Videmus scilicet eorum quae existunt quibusdam nullam esse vim mutandi se in statum ei in quo se habent contrarium, alia vero esse quae non minus hunc quam alterum statum recipere possunt. Ignis enim capere non potest frigus ut quod calori repugnet, qui calor nativus est ignis proprietas. Sed neque nix calorem recipiat, dum nix manet. At aqua, ut maxime frigida sit, non talis est naturae, ut nequeat aut frigus amittere, aut contrariam ei qualitatem, id est calorem recipere: Sic et fieri potest, ut qui sedet, stare incipiat, et qui movetur requiescere, et qui fatur, tacere. Atque ideo in multis rebus aliis reperiet quis facultatem capiendi utrumvis de contrariis. Cum vero ea quae necessario sunt in parte altera contrapositorum facultatem non habeant capiendi contrarium eius in quo se habent, sequitur ut non sint necessario ea, quae es contrarium eius

τὸ δὲ ἐνδεχομένως γεγονὸς ἔν τινι, καὶ μὴ γεγονέναι ἐν αὐτῷ οἷόντε ἦν. Ἔστι μὲν γὰρ ἕκαστον καὶ τούτων, ἐν ᾧ ὂν τυγχάνει, διότι ἦν ἐνδεχόμενον ἐν θατέρῳ αὐτῶν καὶ τὸ ἀντικείμενον ἐῖναι· ἐν ᾧ δ' ἔστι νῦν, οὐκ ἐξ ἀνάγκης ἁπλῶς ἐστιν ἐν τούτῳ, διὰ τὴν πρὸς τὰ ἀντικείμενα δύναμιν, ἀλλὰ μὴν τὰ οὕτως ὄντα ἔν τισιν, οὐ διὰ ἀιτίας τινὰς προκαταβεβλημένας, ἐξ ἀνάγκης ἐις ταῦτα ἀγούσας, ἐν αὐτοῖς ἐστιν [15]), ὥστ' ἐι πάντα ὁμοίως τοῖς ἀντικειμένοις, ὧν δεκτικὰ [16]), ἐνδεχομένως τε ἐστιν ἐν οἷς ἔστι, καὶ ὀυκ ἔστιν ἐν οἷς οὐκ ἔστι, μυρία ἂν ἐίη τὰ ἐνδεχομένως ὄντα τε καὶ γινόμενα. Ἄτοπον γὰρ ὁμοίως ἐξ ἀνάγκης ἐῖναι λέγειν ἔν τινι τά τε καὶ ἀνεπίδεκτα τῶν ἐναντίων τούτοις ἐν οἷς ἐστι, καὶ τὰ μηδὲν μᾶλλον καθ' ὁντινοῦν χρόνον τούτων, ἢ τῶν ἐναντίων αὐτοῖς δεκτικά. Ἐι γὰρ τὰ ἐξ ἀνάγκης ὄντα [17]) ἔν τινι, ἀνεπίδεκτα τοῦ ἐναντίου αὐτῷ, τὰ ἐπιδεκτικὰ τοῦ ἐναντίου, οὐκ ἐξ ἀνάγκης ἂν ἐν ᾧ ἐστιν, ἐίη.

I.

Τὸ δὲ λέγειν [1]) μὴ ἀναιρεῖσθαι πάντων γινομένων καθ' ἑιμαρμένην τὸ δυνατόν τε καὶ ἐνδεχόμενον, τῷ δυνατὸν μὲν ἐῖναι γενέσθαι τοῦτο, ὃ ὑπ' οὐδενὸς κωλύεται γενέσθαι, ἂν [2]) μὴ γένηται, τῶν δὲ καθ' ἑιμαρμένην γενομένων οὐ κεκώλυται τὰ ἀντικείμενα γενέσθαι, διὸ καί τοι μὴ γινόμενα, ὅμως ἔστι δυνατὰ καὶ τοῦ μὴ κεκωλύσθαι γενέσθαι αὐτὰ, ἀπόδειξιν φέρει [3]), τὸ ἡμῖν τὰ κωλύοντα αὐτὰ ἄγνωστα ἐῖναι, πάντως μέν τινα ὄντα, ἃ γάρ ἐστιν ἀίτια τοῦ γενέσθαι τὰ ἀντικείμενα αὐτοῖς καθ' ἑιμαρμένην, ταῦτα καὶ τοῦ μὴ γενέσθαι τούτοις ἀίτια, ἐίγε, ὥς φασιν, ἀδύνατον τῶν αὐτῶν περιεστώτων γίνεσθαι τὰ ἀντικείμενα, ἀλλ' ὅτι μὴ ἡμῖν ἐστι γνώριμά τινα, ἅ ἐστι [4]), διὰ τοῦτο ἀκώλυτον αὐτῶν τὸ

status in quo sunt, possunt admittere. Quod si ea non sunt necessario, ambigue igitur. Quod vero ambigue est in aliquo, id non est ex necessitate, sed quod ancipitis sit facultatis. Quod autem sic in aliquo est, id in eo potuit non esse. Est enim quodque illorum in eo in quo est, ideo quia perinde in eo esse poterat, aut hoc aut quod est contra positum: in quo autem eorum alterum nunc est, non omnino necessario in eo est propter facultatem versatilem ad utramque partem contrariorum. Quae vero sic sunt in rebus ullis, ea ibi non sunt per causas proiectas et necessisate ducentes. Quare si omnia quae sunt in rebus utramvis contrariorum partem recipere idoneis, ibi sunt ancipiti eventu, ubi sunt, et non sunt ubi non sunt, sequitur innumera esse eorum quae sorte ambigua sint fiantque. Absurdum vero sit dicere pariter ex necessitate esse in aliqua re tam ea quae in contrarium flecti nequeunt, quam ea quae quovis tempore non minus sic quam aliter se habere possunt. Si enim quae necessario sunt in aliquo, haec in contrarium mutari non possunt, non sunt ibi necessario.

X.

Dicere vero quod si Fato fiunt omnia nec tamen tolli id quod et potest fieri, quodque ambiguum est, ideo quod possit id omne fieri quod nulla res impediat, quominus fieri possit, quamvis non fiat, eis vero quae Fato fiunt, nihil obstiterit, quominus contrarium eorum fieret. Quare ea etiamsi non proveniant, in eorum tamen esse numero quae esse possunt, et ut probent nihil obstitisse quominus aliter fierent, unum adferre argumentum quod res id prohibentes nobis sint ignotae, cum tamen sint aliquae: Nam quae causae sunt cur contraria istis fierent ex Fato, easdem fuisse causas cur ista non fierent: quia scilicet fieri nequibat, ut in iisdem adiunctis positis contra-

μὴ γίνεσθαι λέγουσιν, τὸ δὴ τοιαῦτα λέγειν, πῶς οὐ παιζόντων ἐστιν ἐν οὐ παιδιᾶς [5]) λόγοις δεομένοις; Τὸ γὰρ ἡμᾶς ἀγνοεῖν οὐδὲν πρὸς τὸ εἶναι ἢ μὴ εἶναι τὰ πράγματα· δῆλοι γάρ εἰσιν οἱ λέγοντες οὕτως; ὡς τῇ ἡμετέρᾳ γνωρίσει τὸ δυνατὸν ἔσται κατ' αὐτούς· τοῖς γὰρ γνωρίζειν αὐτῶν τὰ αἴτια δυναμένοις (οὗτοι δ' ἂν εἶεν οἱ μάντεις) οὐκ ἔσται δυνατὰ αὐτὰ τοῖς εἰδόσι [6]) δυνάμενα κεκωλυκέναι, ἀγνοοῦσι δὲ ἡμῖν τὰ κωλύοντα [7]), δυνατὰ ἔσται. Σώζοντες δὲ τὴν τοῦ δυνατοῦ φύσιν οὕτως ὡς εἰρήκαμεν, διὰ τοῦτο φασὶ μηδὲ τὰ γινόμενα καθ' εἱμαρμένην, καίτοι ἀπαραβάτως γινόμενα, ἐξ ἀνάγκης γίνεσθαι, ὅτι ἔστιν αὐτοῖς δυνατὸν γενέσθαι καὶ τὸ ἀντικείμενον, δυνατοῦ οὕτως λεγομένου ὡς προείρηται [8]). Ἀλλὰ ταῦτα μὲν παιζόντων [9]), ὥσπερ εἶπον, ἐστὶν, ἀλλ' οὐ παρισταμένων [10]) δόγματι. Ὅμοιον δὲ τούτῳ καὶ τὸ λέγειν τὸ ἀξίωμα [11]), τὸ ἔσται αὔριον ναυμαχία, ἀληθὲς μὲν εἶναι δύνασθαι, οὐ μέντοι καὶ ἀναγκαῖον, ἀναγκαῖον μὲν γὰρ τὸ ἀεὶ ἀληθὲς, τοῦτο δὲ οὐκέτ' ἀληθὲς μὲν, ἐπειδὰν δ' ἡ [12]) ναυμαχία γένηται ἀληθές Ἐι δὲ μὴ τοῦτο ἀναγκαῖον, οὐδὲ τὸ ὑπ' αὐτοῦ σημαινόμενον, τὸ ἐξ ἀνάγκης ἔσεσθαι [13]) ναυμαχίαν. Ἐι δὲ ἔσται μὲν οὐκ ἐξ ἀνάγκης ἀληθὲς, ἀληθοῦς ὄντος τοῦ ἔσεσθαι ναυμαχίαν, οὐκ ἐξ ἀνάγκης δὲ, ἐνδεχομένως δηλονότι, ἐι δὲ ἐνδεχομένως, οὐκ ἀναιρεῖται τὸ ἐνδεχόμενον, ὥς τινα γενέσθαι ὑπὸ τοῦ πάντα λέγοντος γίνεσθαι [14]) καθ' εἱμαρμένην. Πάλιν [15]) γὰρ καὶ τοῦτο ὁμοῦ παιζόντων ἐστὶ, ὁμοῦ δὲ ἀγνοούντων, περὶ ὧν λέγουσι. Ὀύτε γὰρ πᾶν τὸ ἐξ ἀνάγκης γενόμενον ἀναγκαῖον, εἴγε τὸ μὲν ἀναγκαῖον ἀΐδιον, τὸ δὲ ἐξ ἀνάγκης γινόμενον ὑπ' αὐτοῦ τοῦ γίνεσθαι τοιοῦτο εἶναι κεκώλυται, οὔτε τὸ ἀξίωμα τὸ τοῦτο λέγον ἀναγκαῖον, εἴγε μὴ τὸ ὑπ' αὐτοῦ σημαινόμενον τοιοῦτο. Ὀυ γὰρ πᾶν ἀξίωμα, ἐν ᾧ τὸ ἀναγκαῖον περιέχεται, ἀναγκαῖον ἤδη, οὐ γὰρ [16])

rium fieret eius quod factum est. Sed quia nobis cognitae non sunt causae, per quas contrarium prohiberetur, ideo dici ista improhibita: haec, inquam, dicere nonne ludere est in disputationibus minime ludicris? Nam ignorare nostrum nihil refert in id, ut res sint, minusque sint. Apparet enim hoc eos dicere, sit ne aliquid in eorum numero quae possunt esse, id pendere a notitia nostra. His igitur qui causas istorum norunt, quales sunt vates, non erunt ista quae fieri queunt, quorum ipsi causas impedientes notas habent, nobis autem erunt talia quae fieri queant, qui causas impedientes non novimus. Hoc illi modo, quem diximus, servare volentes rerum quae possunt fieri et ancipites sunt, naturam, aiunt ea quae ex Fato fiunt, quanquam fiant inevitabiliter, non tamen fieri necessario, quia scilicet agnoscunt fieri potuisse ut et contrarium fieret, voce illa posse fieri, ita ut diximus, accepta. Haec certe, ut iam diximus, ludentium sunt, non dogma serio defendentium. Huic simile est quod dicunt, enuntiatum istud, cras mari pugnabitur, posse esse verum, non tamen et necessarium: nam necessarium esse quod semper verum est; hoc vero nondum nunc esse verum, sed verum fore, ubi mari pugnabitur. Quod si res non est necessaria, aiunt illi, neque ergo necessarium est, quod istis verbis significatur, ex necessitate fiet mari praelium. Quod si non verum est hoc ex necessitate, cum tamen verum sit fore mari praelium, non tamen ex necessitate, sed ut id quod ex ancipiti causa potest fieri, si autem ambiguum, non tollitur, aiunt, sors illa anceps per eos qui defendunt omnia Fato geri. Hoc vero rursus partim ludentium est, partim id de quo loquatur ignorantium. Non enim omne quod ex necessitate fit, necessarium, si id quod ne-

ταύτῃ τὸ ἀναγκαῖον ἀξίωμα κρίνεται, ἀλλὰ τῷ μὴ μεταπίπτειν δύνασθαι ἐις ψεῦδος ἐξ ἀληθοῦς. Ἐι τοίνυν μὴ ἀναγκαῖον, οὐδὲν κεκώλυται ἀληθὲς ἐἶναι, ὡς τὸ ἔσται ἀύριον ναυμαχία. Ἐι γὰρ ὡς ἀναγκαῖον γινόμενον, διὰ τὴν τοῦ ἀναγκαίου προςθήκην, οὐκ ἀληθὲς, ἐι μὴ γίνοιτο ἀναγκαῖον τῇ τοῦ ἐξ ἀνάγκης προςθέσει, ἀληθὲς ἂν μένοι ὁμοίως τῷ χωρὶς τῆςδε τῆς προςθήκης λεγομένῳ, ἀλλ᾽ ἐι τοῦτ᾽ ἀληθὲς, ἀληθὲς ἔσται, ἐνστάσης [17]) τῆς ἀύριον, ἀξίωμα τὸ ἐξ ἀνάγκης γεγονέναι ναυμαχίαν, ἐι γὰρ ἐξ ἀνάγκης, οὐκ ἐνδεχομένως. Καὶ γὰρ ἐι ἀληθές ἐστι τὸ ἀύριον ἔσται ναυμαχία, ἀεὶ γενέσθαι ναυμαχίαν καθ᾽ ἑιμαρμένην ἔσται, ἐίγε πάντα τὰ γινόμενα καθ᾽ ἑιμαρμένην, ἀλλ᾽ ἐι καθ᾽ ἑιμαρμένην, ἀπαραβάτως, ἐι δὲ ἀπαραβάτως [18]), οὐκ ἐνδέχεται μὴ γενέσθαι, ὃ δὲ οὐκ ἐνδέχεται μὴ γενέσθαι, τοῦτο ἀδύνατον μὴ γενέσθαι, ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, πῶς οἷόν τε τοῦτο λέγειν ἐνδέχεσθαι καὶ μὴ γενέσθαι; τὸ γὰρ ἀδύνατον μὴ γενέσθαι, ἀναγκαῖον γενέσθαι. Πάντα ἄρα τὰ καθ᾽ ἑιμαρμένην γινόμενα ἐξ ἀνάγκης ἔσται κατ᾽ ἀυτοὺς, ἀλλ᾽ οὐχὶ καὶ ἐνδεχομένως, ὡς παίζοντες λέγουσι.

ΙΑ.

Ἀκολουθεῖ δὲ τῷ πάντα τὰ γινόμενα προκαταβεβλημέναις καὶ ὡρισμέναις καὶ προϋπαρχούσαις τισὶν ἀιτίαις ἔσεσθαι, τὸ καὶ βουλεύεσθαι τοὺς ἀνθρώπους μάτην περὶ τῶν πρακτέων ἁυτοῖς [1]). Ἐι δὲ τὸ βουλεύεσθαι μάτην, μάτην [2]) ἂν ἄνθρωπος ἐίη βουλευτικός. Καί τοι ἐι μηδὲν μάτην ἡ φύσις ποιεῖ τῶν προηγουμένων, τὸ δὲ βουλευτικὸν ἐἶναι ζῶον τὸν ἄνθρωπον,

cessarium est, est aeternum. Quod enim ex necessitate fit, eo ipso quod fit, habet cur aeternum non sit. Neque vero enuntiatio ea quae hoc dicit, necessaria est, si id quod per eam significatur, non est tale: non enim iam omnis enuntiatio necessaria erit, in qua necessarium aliquid continetur; neque ex eo diiudicabitur enuntiatio necessaria. Id vero tantum (necessarium est) quod transire ex vero in falsum non potest. Quod si id, quod necessarium non est, nihil vetat verum esse ut illud: cras mari pugnabitur, sed id quod non est necessarium addita demum necessarii significatione verum esse desinit: non fit autem aliquid necessarium eo quod addatur ex necessitate fieri, sed verum manet, perinde ac si additum non fuisset; verum igitur erit crastino die commissum fuisse mari praelium. Quod si ex necessitate, non sane ex eo quod ante anceps fuerat. Tum vero si quia verum est, cras mari pugnabitur, semper in fatis fuit illud mari praelium committi, certe si in fatis id fuit, erat inevitabile, et si inevitabile, iam non poterat esse ut non fieret. Quod vero non potest non fieri, id necesse est ut fiat. Quod vero impossibile est non fieri, quomodo de eo dicetur: potuit et non fieri? Nam quod impossibile est non fieri, id ut fiat necessarium. Ex ipsorum igitur sententia necessaria erant quae Fato fiunt, non autem, ut ipsi ludentes loquuntur, ancipitia.

XI.

Praeterea vero si cuncta quae fiunt, ea fiunt ex praeiectis et definitis et antegredientibus causis, iam frustra erit omnis hominum consultatio de rebus agendis. Quod si ita est, frustra homo factus est ad consultandum idoneus. Quod si natura eorum quae principaliter facit, nihil facit frustra; ut autem homo sit animal consultabundum, id a natura est principaliter,

προηγουμένως [3]) ὑπὸ τῆς φύσεως, ἀλλ' οὐ κατ' ἐπακολούθημά τι καὶ σύμπτωμα τοῖς προηγουμένως γινομένοις γίνοιτο, συνάγοιτο ἂν τὸ μὴ [4]) εἶναι μάτην τοὺς ἀνθρώπους βουλευτικούς. Ὅτι δὲ τὸ βουλεύεσθαι μάτην, πάντων γινομένων ἐξ ἀνάγκης, ῥάδιον γνῶναι τὴν τοῦ βουλεύεσθαι χρείαν εἰδόσιν. Ὁμολογεῖται δὲ [5]) πρὸς ἁπάντων, τὸ τῶν ἄλλων ζώων τὸν ἄνθρωπον παρὰ τῆς φύσεως ἔχειν πλέον, τὸ μὴ ὁμοίως ἐκείνοις ταῖς φαντασίαις ἕπεσθαι, ἀλλ' ἔχειν παρ' αὐτῆς κριτὴν τῶν προςπιπτουσῶν [6]) φαντασιῶν περί τινων ὡς αἱρετῶν, τὸν λόγον, ᾧ χρώμενος, εἰ μὲν ἐξεταζόμενα τὰ φαντασθέντα, οἷα τὴν ἀρχὴν ἐφάνη, καὶ ἔστι, συγκατατίθεταί τε τῇ φαντασίᾳ, καὶ οὕτω μέτεισιν αὐτά· εἰ δὲ ἀλλοῖα φαίνεται, καὶ ἄλλό τι [7]) αὖ αἱρετώτερον, ἐκεῖνο αἱρεῖται, καταλείπων τὸ τὴν ἀρχὴν ὡς αἱρετὸν αὐτῷ φανέν. Πολλὰ γοῦν ταῖς πρώταις φαντασίαις ἡμῖν ἀλλοῖα δόξαντα, οὐκέτ' ἔμεινεν ἐπὶ τῆς προλήψεως, ἐλέγξαντος αὐτὰ τοῦ λόγου. Διὸ πραχθέντα ἂν, ὅσον ἐπὶ τῇ αὐτῶν γινομένῃ φαντασίᾳ [8]), διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν, οὐκ ἐπράχθη, ἡμῶν τοῦ τε βουλεύσασθαι καὶ τῆς αἱρέσεως τῶν ἐκ τῆς βουλῆς ὄντων κυρίων. Διὰ τοῦτο γὰρ οὔτε περὶ τῶν ἀϊδίων βουλευόμεθα, οὔτε περὶ τῶν ὁμολογουμένως γινομένων ἐξ ἀνάγκης, ὅτι μηδὲν ἡμῖν ἐκ τοῦ περὶ αὐτῶν βουλεύεσθαι περιγίνεται πλέον. Ἀλλ' οὐδὲ περὶ τῶν ἐξ ἀνάγκης μὲν μὴ γινομένων, ἐπ' ἄλλοις δέ τισιν ὄντων βουλευόμεθα, ὅτι μηδὲ ἀπὸ τῆς περὶ ἐκείνων βουλῆς ὄφελός τι ἡμῖν, ἀλλ' οὐδὲ περὶ τῶν ἡμῖν μὲν πρακτῶν, παρεληλυθότων δὲ βουλευόμεθα, ὅτι μηδὲ τῇ περὶ τούτων βουλῇ πλέον τι ἡμῖν γίνεται. Βουλευόμεθα δὲ περὶ μόνων τῶν ὑφ' ἡμῶν τε πραττομένων καὶ μελλόντων, δῆλον ὡς ἕξοντές τι διὰ τοῦτο πλέον εἰς τὴν αἵρεσίν τε καὶ πρᾶξιν αὐτῶν. Ἐι γὰρ ἐν οἷς οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύεσθαι αὐτοῦ μόνου περιγίνεται, οὐ βουλευόμεθα,

non per accessionem et consequentiam ad id quod est principale, recte hinc inferamus non frustra esse in homine vim, consultratricem. Frustra autem consultari, si cuncta necessitate proveniant, facile agnoscant, qui usum consultatricis facultatis noverint. Constat enim apud omnes unum de omnibus animantibus hominem hoc habere sibi a natura praecipuum, quod non, ut illa trahatur visionibus, sed habeat intra se iudicem accidentium visionum, an approbandae sint, rationem scilicet, qua utens, si visa expensa talia sint qualia initio putabantur, assensum eis praebet, et assensa sequitur. Quod si illa iudicentur absona, aut aliud quid praeferri dignius, id praefert derelinquens id quod ab initio optabile ipsi videbatur. Ob id multa quae ex primis visis nobis placuerant, non mansere approbata, ratione ea refutante. Et quae facta fuissent, si valuisset visi auctoritas, facta non sunt, ideo quod de iis instituta fuit consultatio: quippe cum nos domini simus et consultandi et ex consulto faciendi dilectus. Praeterea neque de aeternis consilium capimus, neque de iis quae constant fieri ex necessitate: quia nihil de eis consultando eveniret commodi. Sed neque de eis consultamus, quae ex necessitate quidem non fiunt, sed quae in aliorum sunt potestàte, quia ne ex tali quidem consultatione ulla ad nos utilitas redundare posset. Praeterea nec de eis consultamus, quae a nobis agi potuerant, sed quorum tempus elapsum est, quia ne e tali quidem consilio aliquid nobis emolumenti posset obvenire. Consultamus autem tantum de iis quae imminent nobisque agenda sunt: nimirum quod de iis consultatio ad dilectuum exsecutionem prodesse nobis possit. Nam si in quibus ex sola consultatione nihil assequi possumus, non consultamus, sequitur nos de iis tantum consultare, de quibus consul-

δῆλον ὡς ἐν οἷς βουλευόμεθα πλέον τι ἕξοντες ἐκ τοῦ βουλεύεσθαι παρὰ τοῦ βουλεύεσθαι βουλευόμεθα περὶ αὐτῶν [9]), ἐπ' αὐτὸ τὸ βουλεύεσθαι περιγίνεται πλέον, ἢ περὶ τῶν ἄλλων βουλευομένοις [10]), ὧν προειρήκαμεν [11]). Τί ποτ' οὖν τὸ περιγινόμενον ἐκ τῆς βουλῆς; τὸ ἔχοντας ἡμᾶς τὴν ἐξουσίαν τῆς αἱρέσεως τῶν πρακτέων, ὃ οὐκ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι (τῷ ἄλλο τι πρᾶξαι [12]) ἄν, διὰ τὸ εἶξαι τῇ προςπεσούσῃ φαντασίᾳ) τοῦτο αἱρετώτερον ὑπὸ λόγου φανὲν, αἱρεῖσθαί τε καὶ πράττειν πρὸ ἐκείνου. Ὃ γίνοιτ' ἂν, ει μὴ πάντα πράττοιμεν κατηναγκασμένως· ει δὲ εἴημεν πάντα ἃ πράττομεν πράττοντες διά τινας αἰτίας προκαταβεβλημένας, ὡς μηδεμίαν ἐξουσίαν ἔχειν τοῦ πρᾶξαι τόδε τι καὶ μὴ, ἀλλ' ἀφορισμένως ἕκαστον πράττειν ὧν πράττομεν, παραπλησίως τῷ θερμαίνοντι πυρὶ καὶ τῷ λίθῳ καταφερομένῳ [13]), καὶ τῷ κατὰ τοῦ πρανοῦς κυλιομένῳ κυλίνδρῳ [14]), τί πλέον ἡμῖν εις τὸ πράττειν ἐκ τοῦ βουλεύσασθαι περὶ τοῦ πραχθησομένου γίνεται; ὃ γὰρ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι, τοῦτο καὶ μετὰ τὸ βουλεύσασθαι πράττειν ἀνάγκη. Ὡς τ' οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύσασθαι αὐτοῦ τοῦ βουλεύσασθαι περιγίνεται. Ἀλλὰ μὴν [15]) τοῦτο καὶ ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν δυνάμενοι ποιεῖν, ὡς ἄχρηστον ὂν παραιτούμεθα [16]). Ἄχρηστον ἄρα τὸ βουλεύσασθαι, καὶ ἐφ' ὧν αὐτῷ ὡς τι χρήσιμον ἡμῖν παρεχομένῳ [17]) χρώμεθα. Οἷς εἵπετο [18]) τὸ μάτην ἡμῖν ὑπὸ τῆς φύσεως τοῦ βουλευτικοῖς εἶναι δεδόσθαι. Ὧι προςτεθέντος [19]) τοῦ αὐτοῖς γε τούτοις, καὶ κοινῶς πᾶσι σχεδὸν τοῖς φιλοσοφοῦσι δοκοῦντος, τὸ μηδὲν ὑπὸ τῆς φύσεως γίνεσθαι μάτην, ἀναιρεῖτο ἂν [20]), ᾧ εἵπετο το μάτην ημᾶς εἶναι βουλευτικούς. Εἵπετο δὲ τοῦτο τῷ τῶν πραττομένων ὑφ' ἡμῶν μὴ ἔχειν ἡμᾶς τοιαύτην ἐξουσίαν, ὡς δύνασθαι τὰ ἀντικείμενα [21]).

tantibus aliqua possit praeter ipsam consultationem nobis redundare utilitas, siquidem de aliis rebus quas praediximus consultantes nihil lucramur praeter solam consultationem *). Quid igitur est, quod ex consultatione datur assequi? Quod cum ius optionis habeamus circa agenda, id quod non fecissemus, nisi consultatione fecissemus usi, (nempe quia egissemus aliud quid viso nos ferienti obedientes,) nunc id quod rationi videtur optabilius, id sumimus agimusque prae illo altero. Quae omnia recte procedunt, si non omnia ex necessitate agimus. Quod si agamus cuncta quae agimus ex causis antegressis, ita ut nulla nobis sit potestas ad agendum vel non agendum, sed definita lege id unum agamus, quod agendum nobis est, pari modo quo ignis calefacit et lapis deorsum fertur, et cylindrus in declivi volvitur, quid est quod ad agendum ex consultatione plus quam ante habebimus? Nam quod ante captum consilium eramus facturi, id ipsum ut post deliberationem agamus necesse est: quare ex consultatione nihil ad nos redibit, praeter hoc ipsum consultare. Atque cum hoc ipsum facere possimus etiam de iis quae non sunt nostrae potestatis, de eis id defugimus, ut supervacuum. Inutilis ergo omnis consultatio etiam cum ea tanquam utilitatis aliquid nobis praebitura utimur. Unde porro sequitur frustra a natura nos ita factos ut consultandi habeamus facultatem. His si addatur quod est, et isti fatentur, et philosophi pene omnes, nihil a natura frustra fieri, tolletur ex eo id quod ex ipsorum dictis infertur frustra nos ad consultandum esse aptos. Id autem recte infertur, si in ea quae agenda sunt, non id ius habeamus, ut possimus facere vel hoc vel eius contrarium.

---

*) *Vide notas.*

ΙΒ.

Ἀναιρουμένου δὲ ὡς ἐδείχθη τοῦ βουλεύσασθαι κατ' αὐτοὺς, ἀναιρεῖται καὶ τὸ ἐφ' ἡμῖν προδήλως. Τοῦτο γὰρ ἐφ' ἡμῖν πάντες ὅσοι μὴ θέσει τινι παρίστανται, παρειλήφασιν εἶναι, οὗ [1]) ἡμεῖς μὲν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι κύριοι, οὐχ ἑπόμενοί τισιν ἔξωθεν ἡμᾶς περιστᾶσιν αἰτίοις, οὐδὲ ἐνδιδόντες αὐτοὺς [1] a), ᾗ (ἂν) ἐκεῖνα ἄγῃ [2]). Καὶ ἡ προαίρεσις τὸ ἴδιον ἔργον τῶν ἀνθρώπων περὶ ταὐτό. Ἡ γὰρ ἐπὶ προκριθὲν ἐκ τῆς βουλῆς μετὰ ὀρέξεως ὁρμὴ, προαίρεσις. Διὸ οὐδὲ ἐπὶ τοῖς ἀναγκαίως γινομένοις ἡ προαίρεσις, οὔτε ἐπὶ τοῖς μὴ ἀναγκαίως μὲν, ἐι μὴ δι' ἡμῶν [3]), ἀλλ' οὐδὲ ἐν πᾶσι τοῖς δι' ἡμῶν, ἀλλ' ἐν τούτοις τοῖς γινομένοις δι' ἡμῶν, ὧν ἡμεῖς τοῦ πράξαι καὶ τοῦ μὴ πρᾶξαι κύριοι ἐσμέν [4]). Ὁ γὰρ βουλευόμενος περί τινος, ἤτοι περὶ τοῦ δεῖν αὐτὸ πράττειν, ἢ μὴ πράττειν βουλεύεται, ἢ σπουδάζων ὡς περὶ ἀγαθῶν τι, ζητεῖ δι' ὧν ἂν τούτου τύχοι· κἂν μὲν ἀδυνάτῳ τινὶ ζητῶν τύχῃ [5]), τοῦ μὲν ἀφίσταται [6]), ἀφίσταται δὲ ὁμοίως καὶ τῶν δυνατῶν μὲν, οὐκ ὄντων δὲ ἐπ' αὐτῷ, μένει δὲ [7]) ἐν τῇ περὶ τοῦ προκειμένου ζητήσει, ἕως ἂν ἐντύχῃ τινὶ, οὗ τὴν ἐξουσίαν αὐτὸς ἔχειν πεπίστευται, μεθ' ὃ παυσάμενος τοῦ βουλεύεσθαι ὡς ἀναγαγὼν τὴν ζήτησιν ἐφ' αὐτὸ, ὃ ἐστὶν ἀρχὴ τῶν πράξεων, ἄρχεται τῆς πρὸς τὸ προςκείμενον πράξεως. Γίνεται δὲ καὶ ἡ ζήτησις αὐτῷ ὡς ἐξουσίαν ἔχοντι τοῦ πράττειν καὶ τὰ ἀντικείμενα· καθ' ἕκαστον γὰρ τῶν ὑπὸ τὴν βουλὴν ἡ ζήτησις βουλευομένῳ γίνεται, πότερον τοῦτο, ἢ τὸ ἀντικείμενον αὐτῷ πρακτέον μοι, κἂν πάντα λέγῃ γίνεσθαι καθ' ἑιμαρμένην· ἐλέγχει γὰρ ἡ ἐν τοῖς πρακτοῖς ἀλήθεια τὰς περὶ αὐτῶν ἡμαρτημένας δόξας. Ἣν πλάνην κοινῶς πάντας ἀνθρώπους ὑπὸ τῆς φύσεως πεπλανῆσθαι, πῶς οὐκ ἄτοπον λέγειν; ὅτι γὰρ ταύτην ἔχειν τὴν ἐξουσίαν ἐν τοῖς πρακτοῖς προειλήφαμεν, ὡς δύνασθαι διαιρεῖσθαι τὸ ἀντικείμενον, καὶ μὴ πᾶν ὁ αἱρούμεθα ἔχειν προκατα-

XII.

Iam vero sublata per istos vi consultandi, tollitur manifeste et volendi libertas. Nam omnes qui non suis placitis defixi sunt, in eo ponunt istam libertatem, quod domini simus agendi vel non agendi, ita ut non cogamur sequi causas externas aut pati nos qua ducant impelli. Est autem hic dilectus proprium hominis in hac re opus. Nam in id quod deliberatio praetulit cum appetitu, motio animi est dilectus. Quare in iis quae omnino necessario fiunt, dilectus iste locum non habet: sed nec in iis, quae citra necessitatem quidem, sed non per nos fiunt. Neque vero in omnibus quae per nos fiunt, sed in iis quae ita per nos fiunt, ut domini simus vel agendi vel non agendi. Nam quisquis de re aliqua consultat, aut consultat, an hoc facere aut non facere oporteat, aut boni alicuius cupidus quaerit, id quomodo adipiscatur. Quod si quaerenti aliquid in mentem venit quod fieri nequeat, statim ab eius cogitatione se avertit. Neque minus se avertit ab illis, quae sunt quidem per se non talia ut omnino fieri nequeant, at non in ipsius qui consultat potestate, perstatque ita de futuro quaerere, donec in aliquod deveniat, cuius se putat habere arbitrium: tum vero a consultatione longiore abstinens, ut qui quaestionem ad id perduxerit, quod agendi principium est, agere incipit id quod ex usu est. Ipsa quoque inquisitio sic ab illo instituitur tanquam qui potestatem habeat vel hoc vel contrarium agendi. In quaque enim re, quae in deliberationem venit, inquisitio fit a consultante, hoc ne faciendum ipsi, an quod contrarium est, etiam ab eo qui cuncta dicat Fato fieri. Refellit enim ipsa inter agendum veritas falso conceptas opiniones. Quomodo vero non sit absurdum dicere falli in hoc re a natura homines univer-

βεβλημένας αἰτίας, δι' ἃς οὐχ οἷόν τε ἡμᾶς μὴ τοῦτο αἱρεῖσθαι, ἱκανὴ δεῖξαι καὶ ἡ ἐπὶ τοῖς αἱρεθεῖσι γινομένη πολλάκις μετάνοια. Ὡς γὰρ ἐνὸν ἡμῖν καὶ τὸ μὴ ᾑρῆσθαι [8]), καὶ μὴ πεπραχέναι τοῦτο, μετανοοῦμεν τε καὶ μεμφόμεθα αὐτοῖς [9]) τῆς περὶ τὴν βουλὴν ὀλιγωρίας. Ἀλλὰ κἂν ἄλλους ἴδωμεν [10]) μὴ καλῶς περὶ τῶν πρακτέων διαλαμβάνοντας [11]), κἀκείνοις ἐπικαλοῦμεν ὡς ἁμαρτάνουσιν [12]). Ἀξιοῦμεν δὲ συμβούλοις τοιοῖςδε χρῆσθαι, ὡς ἐφ' ἡμῖν ὂν τό τε [13]) παραλαμβάνειν αὐτοὺς συμβούλους ὄντας, ἢ μὴ παραλαμβάνειν, ὡς πράξαι ἂν [14]) διὰ τὴν τῶν τοιούτων παρουσίαν ἄλλα τινὰ [15]) καὶ μὴ ταῦτα ἃ πράσσομεν. Ἀλλ' ὅτι μὲν τὸ ἐφ' ἡμῶν ἐπὶ τούτων κατηγορεῖται, ὧν ἐν ἡμῖν ἡ ἐξουσία τοῦ ἑλέσθαι καὶ τὰ ἀντικείμενα, γνώριμον ὂν καὶ ἐξ αὐτοῦ, ἱκανὰ ὑπομνῆσαι καὶ τὰ προειρημένα.

ΙΓ.

Τοιούτου δ' ὄντος αὐτοῦ, τὸ μὲν δεικνύναι τοῦτο σωζόμενον κατὰ τοὺς πάντα λέγοντας γίνεσθαι καθ' εἱμαρμένην οὐδὲ ἐπιχειροῦσι τὴν ἀρχὴν, ἴσασι γὰρ ἐπιχειρήσοντες [1]) ἀδυνάτοις, ὡς δὲ ἐπὶ τῆς τύχης ἄλλο τι σημαινόμενον ὑποθέντες τῷ τῆς τύχης ὀνόματι, παράγειν πειρῶνται τοὺς ἀκούοντας αὐτῶν, ὡς σώζεσθαι καὶ αὐτοῖς [2]) τὸ ἀπὸ τύχης γίνεσθαί τινα. Οὕτω δὲ καὶ ἐπὶ τοῦ ἐφ' ἡμῖν ποιοῦσιν, ἀναιροῦντες γὰρ τὸ ἐξουσίαν ἔχειν τὸν ἄνθρωπον τῆς αἱρέσεως τε καὶ πράξεως τῶν ἀντικειμένων, λέγουσιν ἐφ' ἡμῖν εἶναι τὸ γινόμενον [3]) καὶ δι' ἡμῶν. Ἐπεὶ γάρ φασι, τῶν ὄντων τε καὶ γινομένων αἱ φύσεις, ἕτεραί τε καὶ διάφοροι, (οὐ γὰρ αἱ αὐταὶ τῶν ἐμψύχων τε καὶ τῶν ἀψύχων, ἀλλ' οὐδὲ τῶν ἐμψύχων ἁπάντων αἱ αὐταὶ πάλιν· αἱ γὰρ κατ' εἶδος τῶν ὄντων διαφοραὶ τὰς τῶν φύσεων αὐτῶν διαφορὰς δεικνύουσι). Γίνεται δὲ τὰ ὑφ' ἑκάστου γινόμενα κατὰ τὴν οἰκείαν φύσιν, τὰ μὲν ὑπὸ λίθου κατὰ τὴν

sos? Iam enim vidimus habere hominem in rebus agendis potestatem etiam ad contrarium se vertendi, deinde vero non omne quod deligimus habere causas praegredientes, per quas non licuit nobis aliud deligere, satis ostendit etiam ea, quae saepe dilectum sequitur, poenitentia. Tanquam enim in nobis fuerit hoc nec deligere nec agere, poenitentia ducimur, nosque ipsos accusamus de consilii hallucinatione, quin et si alios videamus in agendo non rectam instare viam, etiam illos ut peccantes, arguimus. Praeterea assumimus nobis consilii participes, utpote in nobis sito, assumamusne tales in consilium, an non assumamus, nempe ut eorum ope directi agamus et alia quaedam ab iis quae agimus. Libertatem autem volendi dici circa ea in quibus et contraria deligere possumus, tum per se notum, tum satis hoc ostendunt dicta hactenus.

XIII.

Hoc autem ut defendant ii, qui omnia Fato autumant fieri, primum ne ipsi quidem tentant. Sciunt enim se id tentaturos quod fieri nequit. At sicut fortunae vocabulo alium substituentes significatum, imponunt auditoribus ut videantur et ipsi statuere quaedam forte fortuna fieri, idem faciunt in eo quod dicitur nostrae esse potestatis. Nam sublato hominis arbitrio ad dilectum actionemque contrapositorum, id dicunt esse in nostra potestate, ad quod agendum et nos concurrimus. Nam cum, aiunt, eorum quae sunt fiuntque diversae sint multiplicesque naturae: (non enim eadem est natura et animatorum et animae expertium, animatorum quoque non eadem inter se. Quot enim sunt specierum inter se differentiae, tot documenta sunt differentium et naturarum). Fiunt autem quae a re quaque fiunt, secundum propriam suam naturam, ut a lapide secundum lapidis naturam, ab igne sesundum ignis,

λίθου, τὰ δὲ ὑπὸ πυρὸς κατὰ τὴν πυρὸς, καὶ τὰ ὑπὸ ζώου κατὰ τὴν ζώου [5]· οὐδὲν μὲν τῶν κατὰ τὴν οἰκείαν φύσιν ὑφ᾽ ἑκάστου γινομένων δύνασθαι φασιν ἄλλως ἔχειν, ἀλλ᾽ ἕκαστον τῶν γινομένων ὑπ᾽ αὐτῶν γίνεσθαι κατηναγκασμένως, κατ᾽ ἀνάγκην, οὐ τὴν ἐκ βίας, ἀλλ᾽ ἐκ τοῦ μὴ δύνασθαι τὸ μὴ πεφυκὸς [6], οὕτως ὄντων τῶν περιεστώτων τοιούτων, ὡς ἀδύνατον [7] αὐτῷ μὴ περιεστᾶναι, καὶ ἀδύνατον [8] τό,τε ἄλλως πῶς καὶ μὴ οὕτω κινηθῆναι. Μήτε γὰρ τὸν λίθον ἐι ἀπὸ ὕψους ἀφεθείη τινὸς, δύνασθαι μὴ φέρεσθαι κάτω, μηδενὸς ἐμποδίζοντος, τῷ βαρύτητα μὲν ἔχειν αὐτὸν ἐν αὐτῷ, ταύτην δ᾽ ἐἶναι τῆς τοιαύτης κινήσεως κατα φύσιν [9], ὅταν καὶ τὰ ἔξωθεν αἴτια τὰ πρὸς τὴν κατὰ φύσιν κίνησιν τῷ λίθῳ συντελοῦντα παρῇ, ὡς ἐξ ἀνάγκης [10] τὸν λίθον, ὡς πέφυκε, φέρεσθαι, πάντως δ᾽ αὐτῷ καὶ ἐξ ἀνάγκης παρεῖναι ταῦτα τὰ αἴτια, δι᾽ ἃ κινεῖται τότε, οὐ μόνον μὴ δυναμένῳ [11] μὴ κινεῖσθαι [12] τούτων παρόντων [13], ἀλλὰ καὶ ἐξ ἀνάγκης κινεῖσθαι τότε, καὶ γίνεσθαι τὴν τοιαύτην κίνησιν ὑπὸ τῆς ἑιμαρμένης, διὰ τοῦ λίθου. Ὁ δ᾽ αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος· ὡς δὲ ἐπὶ τῶν ἀψύχων ἔχει, οὕτως καὶ ἐπὶ τῶν ζώων ἔχειν φασίν· ἐἶναι γάρ τινα καὶ τοῖς ζώοις κίνησιν κατὰ φύσιν, ταύτην δ᾽ ἐἶναι τὴν καθ᾽ ὁρμὴν, πᾶν γὰρ ζῶον ὡς ζῶον κινούμενον, κινεῖσθαι καθ᾽ ὁρμὴν κίνησιν διὰ τῆς ἑιμαρμένης διὰ ζώου γινομένην. Οὕτω δὲ τούτων ἐχόντων, καὶ γινομένων ὑπὸ τῆς ἑιμαρμένης κινήσεών τε καὶ ἐνεργειῶν ἐν τῷ κόσμῳ, τῶν μὲν διὰ γῆς, ἂν οὕτω τύχῃ, τῶν δὲ δι᾽ ἀέρος, τῶν δὲ διὰ πυρὸς [14], τῶν δὲ δι᾽ ἄλλου τινὸς, γινομένων δὲ τινῶν καὶ διὰ ζώων, (τοιαῦται δὲ αἱ καθ᾽ ὁρμὴν κινήσεις) τὰς διὰ τῶν ζώων, ὑπὸ τῆς ἑιμαρμένης γινομένας ἐπὶ τοῖς ζώοις ἐἶναι λέγουσιν. Ὁμοίως δὲ ὡς πρὸς τὸ ἀναγκαῖον τοῖς ἄλλοις γινομένας ἅπασι, τῷ δεῖν καὶ τοῖς ἐξ ἀνάγκης

ab animante secundum animantis. Dicunt deinde nihil eorum quae fiunt, secundum propriam cuiusque naturam aliter se habere posse, sed quidque eorum quae fiunt a re quaque fieri necessario, non tamen ea necessitate, quae est per violentiam, sed quia quod evenit, non potuit non evenire, eo ipso quod cum circumstantia essent talia, non potuit non ab eis circumsisti ac proinde nec aliter et non sic moveri: Neque enim lapidem si de sublimi iaciatur posse non ferri deorsum, si nihil impediat, nimirum quia lapis in se gravitatem habet, cui secundum naturum propria sit eiusmodi motio, uti etiam externae causae ad hanc secundum naturam motionem lapidi opitulentur, lapidem necessario ita ferri, ut natus est ferri, et praeterea itidem ex necessitate adesse ei causas alias, per quas tunc movetur, ita ut illis accedentibus non possit non moveri, imo ex necessitate tunc moveatur, fierique hanc motionem a Fato per lapidem. Eandem esse et in aliis rebus rationem. Sicut autem res se habet in animae expertibus, pari modo eam se habere dicunt in animatis, quippe et animantibus quandam esse secundum naturam motionem, eam nimirum quae fit ex appetitu; omne enim animans, quod ut animans movetur, moveri ea ratione quae est ex appetitu: hanc autem esse motionem, quae a Fato fiat per istud animans. Quae cum ita se habeant, fiantque a Fato per hoc universum motiones operationesque variae; aliae in aëre, aliae in igne, aliae in re alia; fieri quasdam et per animantia, quales sunt motiones ex appetitu. Has vero motiones quae a Fato fiunt per animantia, aiunt illi esse in animantium potestate: parique modo quod ad necessitatem attinet, fieri, motiones istas cum ex necessitate etiam causae externae tunc adsint, ita ut ipsa animantia per se et ex appetitu istam motionem, et

τὰ ἔξωθεν αἴτια παρεῖναι τότε, ὥστε αὐτὰ τὴν ἐξ ἑαυτῶν τε καὶ καθ' ὁρμὴν κίνησιν ἐξ ἀνάγκης οὕτω πως ἐνεργεῖν. Ὅτι δὲ αὗται μὲν δι' ὁρμῆς τε καὶ συγκαταθέσεως, ἐκείνων δὲ αἱ μὲν διὰ βαρύτητα γίνονται, αἱ δὲ διὰ θερμότητα, αἱ δὲ κατ' ἄλλην τινὰ, ταύτην μὲν ἐπὶ τοῖς ζώοις λέγοντες, οὐκέτι δὲ ἐκείνων ἑκάστην, τὴν μὲν ἐπὶ τῷ λίθῳ, τὴν δὲ ἐπὶ τῷ πυρί. Καὶ τοιαύτη μὲν αὐτῶν ἡ περὶ τοῦ ἐφ' ἡμῖν δόξα, ὡς δι' ὀλίγων εἰπεῖν.

ΙΔ.

Ἔνεστι δὲ ὁρᾷν, ει ταῦτα λέγοντες σώζουσι τὰς κοινὰς ἐπὶ τοῦ ἐφ' ἡμῖν πάντων ἀνθρώπων προλήψεις. Ὁι γὰρ ἀπαιτοῦντες αὐτοὺς πῶς οἷόν τε πάντων ὄντων καθ' εἱμαρμένην, τὸ ἐφ' ἡμῖν σώζεσθαι, οὐκ ὄνομα μόνον τοῦ ἐφ' ἡμῖν τιθέντες τοῦτ' ἀπαιτοῦσιν, ἀλλὰ καὶ σημαινόμενον ἐκεῖνο [1]) τὸ αὐτεξούσιον. Διὰ γὰρ τὸ τοιοῦτον εἶναι τὸ ἐφ' ἡμῖν πεπιστεῦσθαι, εὐθύνουσι τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας [2]). Ὁι δὲ ὅτε δέον αὐτόθεν μὴ σώζεσθαι λέγειν, καὶ τοῦ μὴ σώζεσθαι ζητεῖν τε καὶ παρέχεσθαι τὰς αἰτίας, ἐπεὶ τοῦτο ἑώρων παντάπασιν ἄδοξόν τε ὂν, καὶ πολλὰ τῶν παρ' αὐτοὺς λεγόμενα περὶ τοῦ ἐφ' ἡμῖν, ὡς ἄν τε ταὐτὸ δεικνύναι [3]) συνοδεῦον τῷ τῆς εἱμαρμένης λόγῳ, διὰ τῆς ὁμωνυμίας παρακρούεσθαι τοὺς ἀκούοντας ἡγοῦνται, φεύγειν τε [4]) τὰ ἄτοπα ὅσα ἕπεται τοῖς μηδὲν ἐφ' ἡμῖν εἶναι λέγουσιν. Ταῦτα δὲ λέγοντας αὐτοὺς πρῶτον μὲν ἂν ἀπαιτῆσαί τις εὐλόγως, τί δήποτε ἄλλου δι' ἄλλων γινομένου [5]) ὑπὸ τῆς εἱμαρμένης, καὶ διὰ τῆς οἰκείας φύσεως τῶν ὄντων ἑκάστου τῆς εἱμαρμένης ἐνεργούσης, ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς τὸ ἐφ' ἡμῖν εἶναι κατηγοροῦσιν, ἐπὶ δὲ τῶν ζώων μόνον; δι' ἃ γὰρ λέγουσιν ἐπὶ τῶν ζώων τὰ διὰ τοῦ ζώου γινόμενα, ταῦτ' ἔνεστι καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν. Ἐπεὶ γὰρ οὐκ ἄλλως γένοιτο τὰ διὰ τοῦ

isto modo necessario edant. Quod autem aliae fiant ex appetitu, aut insuper ex assensu, aliae per gravitatem, aliae per calorem, aliae alia ex causa, hanc quae per animantia fiunt, dicunt esse in animantium potestate, non item alias esse in potestate lapidis aut ignis. Et haec est, ut compendio dicamus, illorum de eo quod in potestate esse dicitur, sententia.

XIV.

Facile autem visu an isti qui ista dicunt communes servent omnium hominum notiones de eo quod in potestate nostra est. Nam qui ab illis quaerunt, quomodo si cuncta Fato aguntur, defendi possit esse aliquid in nostra potestate, non id quaerunt ad nomen solum respicientes, sed ad rem quae eo nomine significatur, id est voluntatis libertatem. Nam quia tale esse credunt, quod in potestate nostra esse dicitur, ideo illis contradicunt, qui cuncta ex necessitate dicunt fieri. Illi vero cum deberent dicere ob hoc ipsum non posse defendi esse aliquid in nostra potestate, et causas addere cur id defendi non possit, cum viderent esse improbabile ob multa quae ipsi in potestate nostra esse faterentur, ut hoc conciliarent cum doctrina de Fato, sperarunt se auditoribus imponere posse per voces dubii significatus et sic effugere absona illa sequentia eos qui negarent quaedam esse in nostra potestate. Eos qui sic loquuntur primum iuste quis interroget, cur cum a Fato aliud per alia fiat, fatumque operetur per naturam cuique rei propriam, de ceterarum rerum operationibus non dicant eas esse in earum potestate, sed tantum de operationibus animantium? Quod enim eos impellit, ut quae per animantia fiunt, ea dicant in potestate esse animantium, idem dici etiam de unaqua-

ζώου γινόμενα, μὴ ὁρμήσαντος τοῦ ζώου, ἀλλὰ διὰ τὸ συγκατατίθεσθαι μὲν τὸ ζῶον καὶ ὁρμῆσαι γίνεται, μὴ συγκαταθεμένου [6]) δὲ οὐ γίνεται. Ταῦτα ἐπὶ τῷ ζώῳ φασὶν εἶναι, ἐξ ἀνάγκης μὲν ἐσόμενα ἐπ' αὐτῷ, οὐ γὰρ οἷόν τε ἄλλως, τῷ δὲ μὴ δύνασθαι δι' ἄλλου τινὸς, ἢ διὰ τούτου γενέσθαι, μηδ' ἄλλως ἢ οὕτω διὰ τούτου, τῷ εἶναι αὐτὰ ἐπὶ τῷ ζώῳ οἰηθέντες. Ἀλλὰ τοῦτό γε καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν ἐστίν· οὔτε γὰρ τὸ διὰ τοῦ πυρὸς γινόμενον ὑπ' ἄλλου τινὸς ἂν γένοιτο, οὔτ' ἄλλως διὰ τοῦ πυρὸς, ἢ διὰ τοῦ θερμῆναι, ὡς δ' ἐπεὶ μηδ' ἄλλως γένοιτο τὰ διὰ τοῦ πυρὸς γινόμενα, ἢ θερμήναντος τοῦ πυρὸς καὶ θερμήναντος μὲν αὐτοῦ ἔσται, μὴ θερμήναντος δὲ οὐκ ἔσται, εἴη ἂν ἐπὶ τῷ πυρὶ ταῦτα. Τὰ δ' αὐτὰ καὶ ὑφ' ἑκάστου τῶν ἄλλων ἔσται λέγειν [6 b]). Τί γὰρ δεῖ μακρολογεῖν, γεγονότος τοῦ λεγομένου γνωρίμου; ὀνομάτων μὲν γὰρ [7]) οὐδεὶς φθόνος. Τὸ δ' ἡγεῖσθαι πλέον τι τοῖς ζώοις διδόναι, ἐν τοῖς γινομένοις δι' αὐτῶν, παρὰ τἄλλα δι' ὧν τι [8]) καὶ αὐτῶν γίνηται, μηδὲν πλέον τοῦ ἐπ' αὐτοῖς ὀνόματος τηροῦντας αὐτοῖς, τοῦτ' αὐτὸ αἰτιατέον, ὡς αὐτῶν ἀπατωμένων, διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν, ἢ ὡς τοὺς ἄλλους ἀπατᾷν προαιρουμένων. Ἐπὶ τούτῳ δὲ, ἐκεῖνο ἄν τις αὐτῶν θαυμάσειεν, τί παθόντες ἐν τῇ ὁρμῇ τε καὶ συγκαταθέσει τὸ ἐφ' ἡμῖν φασιν εἶναι, δι' ὃ καὶ ὁμοίως ἐν πᾶσι τοῖς ζώοις τηροῦσιν αὐτό· οὐ γὰρ τὸ ἐφ' ἡμῖν ἐν τῷ φαντασίας προςπεσούσης εἶξαί τε ἐξ ἑαυτῶν τῇ φαντασίᾳ καὶ ὁρμῆσαι ἐπὶ τὸ φανὲν, ἀλλὰ τοῦτο μὲν ἂν ἴσως εἴη τοῦ ἑκουσίου κατασκευαστικόν τε καὶ δεικτικόν. Οὐ μὴν ταὐτὸν τό,τε ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν· ἑκούσιον μὲν τὸ ἐξ ἀβιάστου γινόμενον συγκαταθέσεως, ἐφ' ἡμῖν δὲ τὸ γινόμενον μετὰ τῆς κατὰ λόγον τε καὶ κρίσιν συγκαταθέσεως· διὸ εἴ τι μὲν ἐφ' ἡμῖν, τοῦτο καὶ ἑκούσιον, οὐ μὴν πᾶν τὸ

que re alia licet. Quia enim non aliter fiunt, quae fiunt per animantia, nisi animans moveatur appetitu, inde est quod animans rem aliquam approbet; neque enim fit, si absit approbatio: haec in potestate esse dicunt animantis, cum tamen ab eo necesse fuerit ista sic fieri. Neque enim poterat aliter se res habere: nihilominus tamen, quia res neque ab alio fieri poterat, neque alio modo, propterea eam rem dicunt fuisse in potestate animantis. Atque hoc ipsum etiam de rerum aliarum singulis dicere licebat. Nam nec quod per ignem fit, id per rem aliam fieri poterat, neque per ignem aliter quam calefaciendo. Quare cum quae per ignem fiunt, aliter fieri nequeant, quam calefaciente igne; et eo calefaciente exsistent, non calefaciente non exsistent, erunt haec quoque in ignis potestate. Idemque de re quavis alia dicere licebit. Quid vero multis verbis opus, ubi res manifesta est? De vocabulis ipsis non invidemus. Sed quod existimant plus se aliquid animantibus tribuere circa ea quae fiunt per animantia, quam rebus aliis per quas aliqua fiunt, cum nihil aliud quam vocabuli privilegium animantibus concedant, hoc est quod merito arguitur; nimirum quia et aut ipsi vocabuli latiore usu decipiuntur, aut alios decipere quaerunt. Praeterea et hoc in illis non immerito miretur aliquis, quo inducti in motione appetitus atque in approbatione ponant operandi libertatem: unde et in omnibus animantibus pariter id ponunt. Atque libertas agendi non in eo sita est, quod ubi visio accidit animanti, id animans vi suapte cedat viso, et appetitione moveatur ad id quod sibi obversatur: sed possit id forte efficere ac probare actionem esse sponte susceptam. Atque non idem est sponte aliquid agi quod libere. Sponte enim fit quod fit approbatione non extorta; libere vero quod

ἑκούσιον ἐφ᾽ ἡμῖν· ἑκουσίως μὲν γὰρ καὶ τὰ ἄλογα ζῶα, ὅσα κατὰ τὴν ὁρμήν τε καὶ συγκατάθεσιν τὴν ἐν αὐτοῖς ποιεῖ· τὸ δὲ ἐπ᾽ αὐτῷ τὶ εἶναι 9) τῶν γινομένων ὑπ᾽ αὐτοῦ 10), ἴδιον ἀνθρώπου. Τοῦτο γάρ ἐστιν αὐτῷ τῷ εἶναι λογικῷ 11), τὸ ἔχειν ἐν αὑτῷ λόγον προςπιπτουσῶν φαντασιῶν, καὶ ὅλως τῶν πρακτέων τε καὶ μὴ κριτήν τε καὶ εὑρετήν. Διὸ τὰ μὲν ἄλλα ζῶα, ἃ εἴκει ταῖς φαντασίαις μόναις, κατ᾽ αὐτὰς 12) ἔχει τῶν συγκαταθέσεών τε καὶ τῶν κατὰ τὰς πράξεις ὁρμῶν αἰτίας, ὁ δὲ ἄνθρωπος ἔχει τῶν προςπιπτουσῶν ἔξωθεν αὐτῷ φαντασιῶν περὶ τῶν πρακτέων, κριτὴν τὸν λόγον, ᾧ χρώμενος ἑκάστην αὐτῶν ἐξετάζει, μὴ μόνον εἰ φαίνεται τοιαύτη, ὁποία φαίνεται 13), ἀλλὰ καὶ εἰ ἐστί· κἂν εὕρῃ ζητῶν κατὰ τὸν λόγον ἀλλοῖον αὐτοῖς τοῦ φαίνεσθαι τὸ εἶναι, οὐ διότι τοιάδε τις φαίνεται συνεχώρησεν αὐτῇ, ἀλλ᾽ ὅτι μὴ καὶ ἔστι τοιαύτη, ἐνίσταται πρὸς αὐτήν. Οὕτω γοῦν καὶ ἡδέων τινῶν φαινομένων πολλάκις ἀπέχεται, καί τοι ἔχων ὄρεξιν αὐτῶν, ὅτι μὴ τὸν λόγον ἔσχε τῷ φαινομένῳ συνᾴδοντα· ὁμοίως δὲ καὶ συμφέροντα φανέντα τινὰ παρῃτήσατο, ὅτι τῷ λόγῳ 14) τοῦτο δόξαν. Εἰ δὲ τὸ ἐφ᾽ ἡμῖν ἐστὶ ἐν τῇ λογικῇ συγκαταθέσει, ἥ τις διὰ τοῦ βουλεύεσθαι γίνεται, οἱ δὲ ἐν τῇ συγκαταθέσει τε καὶ ὁρμῇ φασὶν εἶναι, ὅτι καὶ ἀλόγως γίνεται, δῆλοι δι᾽ ὧν λέγουσι, ῥαθυμότερον περὶ τοῦ ἐφ᾽ ἡμῖν διαλαμβάνοντες, οὔτε ὅ τί ποτ᾽ ἐστὶν αὐτὸ, οὔτε ἐν τίνι γίνεται 15), λέγουσιν. Τὸ γὰρ εἶναι λογικὸν οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ ἀρχὴν πράξεων εἶναι. Ὡς γὰρ ἄλλῳ ἐν ἄλλῳ τὸ εἶναι 16) τῷ μὲν ζώῳ ἐν τῷ ὁρμητικῷ, τῷ δὲ πυρὶ ἐν τῷ θερμῷ τε καὶ θερμαντικῷ, ἄλλῳ δὲ ἐν ἄλλῳ, οὕτω δὲ τῷ ἀνθρώπῳ ἐν τῷ λογικῷ 17). ὃ ἴσον ἐστὶ τῷ ἐν αὐτῷ ἀρχὴν ἔχειν τοῦ καὶ ἔχεσθαί τι 18) καὶ μή Καὶ τὸ αὐτὸ ἄμφω, ὥςτε ὁ τοῦτο ἀναιρῶν ἀναιρεῖ τὸν ἄνθρωπον. Ἐοί-

ex approbatione secuta rationem atque iudicium. Sponte enim operantur et caetera animantia quae operantur secundum motionem appetitus et approbationem quae est in ipsis. Quare quicquid libere fit, idem et sponte: at non contra quicquid sponte fit, id liberum est nostraeque potestatis. Nam sponte quod efficiunt et caetera animantia, ubi operantur ea motione appetitus et approbatione, quae est intra ipsa; at in sua potestate habere quae faciat, id vero hominis proprium. Nam eo ipso est rationis particeps, quod in se habeat rationem visorum quae ipsi accidunt, omniumque agendorum et non agendorum iudicem et repertricem. Quare alia quidem animantia, quae visionibus solis parent, inde habent causas tum approbationis, tum appetitus se ad operationem moventis. Homo vero adventantium ipsi extrinsecus visionum de rebus agendis rationem habet disceptatricem; qua utens visa singula ad examen vocat, non modo an talem speciem praeferant, qualem praeferunt, verum etiam an sint talia. Quod si cum ratione disquirendo inveniat aliud in specie, aliud in re esse, non ideo viso cedit, quia talis eius species se obtulit, sed quia revera tale non est, ei obsistit. Sic igitur ab iis quae suavia videntur saepe abstinet, quanquam eorum desiderio trahatur, quia nimirum rationem non habet ei quam hauserat imagini consentaneam. Sic et quaedam quae videntur utilia, declinat, ratione decernente ita faciendum. Quod si liberum ius agendi est in approbatione ea, quae ratione gubernatur et consultando explicatur, illi vero illud ipsum ponunt in ea appetitus motione atque approbatione, quae etiam sine ratione fit, eo ipso ostendunt se supine admodum disserere de eo quod in nostra est potestate. Nam nec quid id sit, nec in quo exsistat, explicant. Ratione uti nihil est aliud, quam principium esse suarum actionum,

κασι δὲ παραλελοιπότες τὸν λόγον ἐν τῇ ὁρμῇ τὸ ἐφ' ἡμῖν τίθεσθαι. Ὅτι μηκέτ' ἐν τῷ βουλεύεσθαι λέγουσιν αὐτοῖς τὸ ἐφ' ἡμῖν εἶναι, προχωρεῖ τὸ σόφισμα. Ἐπὶ μὲν γὰρ τῆς ὁρμῆς ἔχουσι λέγειν τὸ ἐπὶ τοῖς ζώοις εἶναι τὰ γινόμενα καθ' ὁρμὴν, ὅτι μὴ [19]) οἷά τε χωρὶς ὁρμῆς τὰ δι' αὐτῶν γινόμενα ποιεῖν. Ἐι δ' ἐν τῷ βουλεύεσθαι τὸ ἐφ' ἡμῖν, ἔνθεν οὐκέτ' αὐτοῖς ἕιπετο [20]) τὸ μὴ δύνασθαι τὰ δι' ἀνθρώπου γινόμενα ἄλλως γενέσθαι, τῷ τὸν ἄνθρωπον ὄντα βουλευτικὸν, μὴ πάντα τὰ γινόμενα δι' αὐτοῦ βουλευόμενον ποιεῖν [21])· οὐ γὰρ πάντα ἃ ποιοῦμεν, βουλευσάμενοι ποιοῦμεν, ἀλλὰ πολλάκις μὲν οὐ συγχωροῦντος τοῦ καιροῦ τῶν πραχθῆναι δεόντων τῷ βουλεύσασθαι χρόνον, καὶ μὴ βουλευσάμενοί τινα ποιοῦμεν, πολλάκις δὲ καὶ δι' ἀργίαν ἤ τινα ἄλλην αἰτίαν. Ἐι δὲ τὰ μὲν βουλευσαμένων ἡμῶν, τὰ δὲ καὶ μὴ βουλευσαμένων γίνεται, οὐκέτι χώραν ἔχει τὸ τὰ διὰ τοῦ βουλεύεσθαι γινόμενα ἐπὶ τῷ ἀνθρώπῳ εἶναι [21]), τῷ μὴ δύνασθαι ἄλλως τὶ δι' αὐτοῦ γίνεσθαι, ὡς δ' ἐι τὰ μὲν βουλευσάμενοι, τὰ δὲ μὴ βουλευσάμενοι ποιοῦμεν, οὐκ ἔθ' οὕτως τὰ δι' ἡμῶν γινόμενα ἁπλῶς γίνεται, ὡς τὰ γινόμενα διὰ τῶν ζώων, ἢ διὰ τοῦ πυρὸς, ἢ διὰ τῶν βαρέων δύο σωμάτων. Ἐι δ' ἔχομεν καὶ τοῦ βουλευσάμενοί τι ποιεῖν παρὰ τῆς φύσεως τὴν ἐξουσίαν, δῆλον ὡς ἔχοιμεν ἐξουσίαν καὶ τοῦ διὰ τοῦ μὴ βουλεύσασθαι [23]) ἄλλό τι πρᾶξαι, καὶ μὴ πάντως τοῦτο, ὃ καὶ βουλευσαμένων ἦν [24]), ἂν βουλευώμεθα [25]).

sicut aliarum rerum natura in aliis proprietatibus posita est, ut animanti in motione ex appetitu, igni in calore et vi calefaciente, et sic in caeteris, ita homini in rationis principatu. Hoc autem idem valet quod in se principium habere aggrediendi aliquid vel non aggrediendi. Haec enim duo idem sunt, et qui hoc sustulerit, hominem sustulerit. Videntur autem illi omissa rationis mentione libertatem ponere in appetitus motione, et dum libertatem aiunt non esse in vi consultatrice, fallacia procedit. Nam de appetitus motione possunt dicere ea quae sic fiunt esse in animantium potestate eo quod animantia non possint sine tali motione ea facere quae per animantia fiunt. Quod si libertatem illam ponerent in consultatione, iam illis non procederet id quod aiunt, non posse quae per hominem fiunt, aliter fieri, quia, homo quanquam sit aptus ad consultandum non tamen omnia quae per ipsum aguntur, fiunt eo consultante. Non enim sane omnia quae facimus, consilio facimus, sed saepe facimus non deliberato prius, quia ita rapida est faciendi occasio, ut non concedat tempus quanto ad consultandum est opus. Saepe etiam per desidiam nostram aut alia de causa id accidit. Quod si quae facimus alia fiunt ex consilio, alia sine consilio, iam amplius dicere non licet quae per hominem fiunt, ideo in potestate esse hominis, quod aliter per homines nihil fieri possit. Nam si quae facimus, partim facimus ex consilio, partim sine consilio, non iam omnia quae facimus uno fiunt modo, sicut fiunt quae per alia fiunt animantia, vel per ignem vel per gravia duo corpora. Quod si inditam a natura habemus facultatem aliquid faciendi ex consilio, manifestum est habere nos etiam facultatem ex consilio agendi aliud quid, et non districte hoc unum, quod consultato volumus.

EI.

Τὸ δὲ ἐποχουμένων [1]) τῷ εἴδει τῶν αὐτῶν περιεστώτων [1] a), ὅτε μὲν οὕτως ὅτε δὲ ἄλλως ἐνεργήσει τὶς, ἀναίτιον κίνησιν εἰςάγεσθαι, διὰ τοῦτο λέγειν μὴ δύνασθαι οὗ πράξει τις πρᾶξαι τὸ ἀντικείμενον, μήποτε καὶ αὐτὸ τῶν ὁμοίως τοῖς προειρημένοις παρορωμένων; ὃν γὰρ πάντως ἀεὶ τὰ γινόμενα κατὰ αἰτίαν ἔξωθεν ἔχει τοῦ γίνεσθαι τὴν αἰτίαν, διὰ γὰρ τὴν τοιαύτην ἐξουσίαν ἔστι [2]) τὶ ἐφ' ἡμῖν, ὅτι τῶν οὕτω γινομένων ἡμεῖς ἐσμὲν κύριοι· ἀλλ' οὐκ ἔξωθεν τὶς αἰτία. Διὸ οὐκ ἀναιτίως [3]) τὰ οὕτω γινόμενα γίνεται, παρ' ἡμῶν τὴν αἰτίαν ἔχοντα. Ὁ γὰρ ἄνθρωπος ἀρχὴ καὶ αἰτία τῶν δι' αὑτοῦ [4]) γινομένων πράξεων, καὶ τοῦτό ἐστι τὸ εἶναι ἀνθρώπῳ τὸ τοῦ πράττειν οὕτως τὴν ἀρχὴν ἔχειν ἐν αὑτῷ, ὡς τῇ σφαίρᾳ τὸ κατὰ τοῦ πρανοῦς κυλιομένῃ φέρεσθαι. Διὸ τῶν μὲν ἄλλων ἕκαστον ἕπεται ταῖς ἔξωθεν αὐτᾷ περιεστώσαις αἰτίαις, ὁ δ' ἄνθρωπος οὐχ, ὅτι ἐστὶν αὐτῷ τὸ εἶναι ἐν τῷ ἔχειν ἀρχήν τε καὶ αἰτίαν ἐν αὑτῷ, τῷ μὴ πάντως [5]) ἕπεσθαι τοῖς περιεστῶσιν ἔξωθεν αὐτῷ. Ἐι γὰρ ἦν ἡμῖν [6]) ἡ περὶ τῶν πρακτέων κρίσις, πρὸς ἕνα γινομένη σκοπὸν, ἴσως εἶχέ τινα [7]) λόγον τὸ ἀεὶ περὶ αὐτῶν ὁμοίας [8]) ἡμῖν γίνεσθαι τὰς κρίσεις. Ἐπεὶ δ' οὐχ οὕτως ἔχει (αἱρούμεθα γὰρ ἃ αἱρούμεθα, ποτὲ μὲν διὰ τὸ καλόν τι, ποτὲ δὲ διὰ τὸ ἡδὺ, ποτὲ δὲ διὰ τὸ συμφέρον, καὶ οὐ ταὐτὰ τούτων ποιητικὰ) ἐνδέχεται νῦν μὲν ἐπὶ τὸ καλὸν κινηθέντας ἡμᾶς τάδε τῶν περιεστώτων προκείμενα, αὖθις δὲ ἄλλα αἱρεῖσθαι [9]), πρὸς τὸ ἡδὺ ἢ τὸ συμφέρον τὴν ἀναφορὰν τῆς κρίσεως ποιουμένους. Ὡς γὰρ οὐ ζητοῦμεν ἄλλην τινὰ αἰτίαν δι' ἣν κατὰ βαρύτητα τὴν ἐν αὐτῇ ἡ γῆ φέρεται κάτω, ἢ δι' ἣν αἰτίαν, ἃ πράσσει τὸ ζῶον, πράσσει καθ' ὁρμὴν, τῷ ταύτην ἕκαστον αὐτῶν τὴν αἰτίαν ἐξ αὑτοῦ πρὸς τὰ γινόμενα συντελεῖν, τοιοῦτον

XV.

Quod vero aiunt, si concedatur eundem iisdem circumsessum rebus circumstantibus posse nunc sic nunc aliter agere, propterea induci motionem quae causam non habeat, quapropter ipsi statuunt non potuisse unquam quenquam facere contrarium eius quod facturus est, videamus annon hic quoque hallucinatio par sit atque in antedictis. Non enim semper quae ex causa fiunt, extra se causam habent cur sint; dicitur enim aliquid esse in nostra potestate ob ius illud per quod nos talium dominium habemus, non autem externa aliqua causa, et ista non sine causa oriuntur, quippe quae intra nos causam habeant. Homo enim principium et causa eorum quae per ipsum aguntur, et hoc est esse hominem, eorum quae agit principium intra se habere, sicut hoc est globum esse in declivi volutatim ferri. Propterea rerum aliarum unaquaeque sequitur causas extrinsecus ipsam obsedentes, at non et homo, quia haec propria est eius natura, habere intra se agendi causam atque principium, non autem semper et omnino sequi ea, quae extrinsecus circumsistunt. Quod si nostrum de agendis iudicium semper ad unum quasi propositum signum dirigeretur, posset forte cum specie dici, de iisdem idem esse iudicium. Nunc vero cum aliter se res habeat (deligimus enim ea quae deligimus, nunc quidem propter honestum, nunc vero propter id quod suave est, saepe et propter utilitatem: et ex his non eadem fluunt effecta) eo fit ut nunc honestum respicientes de iis quae in conspectu sunt, hoc praeferamus, interdum aliud ubi ad utile aut ad suave iudicium vertimus. Sicut enim aliam non quaerimus causam, per quam terra sua gravitate deorsum feratur, aut per quam animans ex appetitus motione agat quae agit, ideo quod unumquodque eorum causam de se

ὂν τὴν φύσιν, οὕτως οὐδ ἐπὶ τῶν ὑφ' ἡμῶν ἄλλοτ' ἄλλως γινομένων [10]) ἐπὶ περιεστῶσι τοῖς ἄλλοις, ἄλλην τινὰ αἰτίαν ἀπαιτητέον, παρ' αὐτὸν τὸν ἄνθρωπον. Τοῦτο γὰρ ἦν τὸ ἄνθρωπον εἶναι, τὸ [γὰρ] ἀρχὴ [11]) καὶ αἰτία εἶναι τῶν δι' αὐτοῦ γινομένων πράξεων. Τὸ δὲ λέγειν καὶ τοὺς βουλευσαμένους τῷ φαινομένῳ συγκατατίθεσθαι, καὶ διὰ τοῦτο καὶ τὴν φαντασίαν ὁμοίως τοῖς ἄλλοις ζώοις ἕπεσθαι, οὐκ ἀληθές· οὐ γὰρ πᾶν τὸ φαινόμενον φαντασία [12]). Ἡ μὲν γὰρ φαντασία ἁπλῆ τε καὶ χωρὶς λόγου ὑπὸ τῶν ἔξωθεν προςπιπτόντων γίνεται, ἐοικυῖα ταῖς αἰσθητικαῖς ἐνεργείαις. διὸ καὶ τὴν ἰσχὺν ἐν τοῖς ἀλόγοις ζώοις ἔχει μάλιστα· φαίνεται δέ τινα καὶ διὰ λόγου τε καὶ παρασυλλογισμοῦ [13]) τὴν αἰτίαν τοῦ φαίνεσθαι λαμβάνοντα, ἃ οὐκέτ' ἂν τις φαντασίας λέγοι. Ὁ γὰρ διὰ τὸν γινόμενον παρ' αὐτῷ [14]) ἐν τῷ βουλεύεσθαι συλλογισμὸν, συγκαταθέμενός τινι αὐτὸς αὐτῷ τῆς συγκαταθέσεως αἴτιος.

ΙΣΤ.

Ἀλλ ὅτι μὲν οὔτε σώζουσι τὸ ἐφ' ἡμῖν οἱ λέγοντες πάντα καθ' εἱμαρμένην [γίνεσθαι] (οὐ γὰρ περὶ οὗ ζητοῦμεν εἰ σώζεται κατ' αὐτοὺς, τοῦτο σώζεται [1]) οἵγε καὶ αἰτίαν ἀποδιδόναι πειρῶνται τοῦ μηδὲ τὴν ἀρχὴν δυνατὸν εἶναι τὸ πρᾶγμα, οὐδὲ [2]) ἣν ἀποδιδόασιν αἰτίαν ἐπ' ἀναιρέσει τῆς τοιαύτης ἐξουσίας, ἀληθὴς, μὴ ἔχουσά τι εὔλογον) ἐκ τῶν εἰρημένων γνώριμον. Ἀλλὰ μὴν τοῖς ἀναιροῦσι τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν ἕπεται τὸ συγχεῖν τε καὶ ἀνατρέπειν, ὅσον ἐπ' αὐτοῖς τῶν ἀνθρώπων βίον. Καὶ γὰρ ἐχόντων μὲν οὕτω τῶν πραγμάτων ὡς ἔχει, οὐδὲ γὰρ αὐτῶν τινα [3]) πεῖσαι δυνατὸν μὴ πράττειν ἃ πράττουσιν ὡς ἔχοντα τοῦ καὶ πράττειν αὐτὰ καὶ μὴ πράττειν τὴν ἐξουσίαν,

ad ea quae fiunt conferat, quia scilicet talis est naturae, ita et de iis, quae a nobis alio tempore aliter fiant, iisdem rebus non circumsistentibus, non alia causa quaerenda est praeter hominem. Hoc enim est hominem esse causam esse et principium earum actionum, quae per ipsum eduntur. Quod autem dicitur etiam eos qui consultant id approbare quod ipsis approbandum videtur, ac proinde eos non minus quam caetera animantia rapi visis, id verum non est. Non enim omne quod sequimur ex imaginatione visorum est, nam ista imaginatio nuda est, et absque ratione ab iis nascitur, quae extrinsecus nos feriunt, non dissimilis iis quae sensibus imprimuntur: ac propterea in mutis animantihus maximam vim habet. Quaedam autem sunt alia quae nobis sic videntur, causamque cur sic nobis videntur habent ex ratione aut etiam ex mala collectione: quae nemo recte imaginationes dixerit. Qui enim ob collectionem quam apud se consultando facit, aliquid approbat, ipse sibi eius approbationis causa est.

XVI.

Ab illis igitur qui omnia Fato aiunt fieri non relinqui libertatem agendi (neque enim id relinquunt quod an relinquant inter nos disputatur, imo et rationem conantur reddere cur ab initio id nec esse potuerit neque aut veram esse aut probabilem eam caussam quam reddunt, cur tollant istam libertatem) satis apparet ex hactenus dictis. Praeterea vero iis qui sic recte intellectam libertatem tollunt et hoc adhaeret, quod quantum in ipsis est, omnem hominum vitam confundant evertantque. Nam si ita, ut volunt, se res habeant, neque eorum cuiquam suaderi potest ut aliter agat quam agit, quasi facultatem haberet et agendi ista et non agendi; neque alii cuiquam. Tantam

μήτε γε τῶν ἄλλων τινά· τοσαύτην ἰσχὺν ἔχει τἀληθές, καὶ τὴν παρὰ τῶν γινομένων μαρτυρίαν ἐναργῆ. Ἐι δὲ τούτων [4]) οὕτως ἐχόντων, ἰσχὺν αὐτῶν ἡ δόξα τοσαύτην λάβοι [5]), ὡς πάντας ἀνθρώπους πιστεῦσαι, ὅτι ἡμεῖς μὲν οὐδενὸς κύριοι, ἑπόμεθα δὲ τοῖς περιεστῶσιν ἀεὶ, τούτοις ἐνδιδόντες τε καὶ συγκατατιθέμενοι καὶ πράττομέν τε [6]) ἃ πράττομεν τῷ πάντως ὀφείλειν τοῦτο πράττειν (μὴ γὰρ εἶναι δυνατὸν ἡμῖν, ὄντων τῶν περιεστώτων τοιούτων, ἄλλο τι ποιεῖν) οὐ πράττομεν δὲ πάλιν ὁμοίως, διὰ τὸ μὴ δύνασθαι ἀντιβαίνειν τοῖς περιεστῶσιν οὖσι τοιούτοις, τί ἄλλο ἢ συμβήσεται ἂν πάντας [7]) ἀνθρώπους διὰ τὴν τοιάνδε πίστιν, τὰ μὲν ὅσα μετὰ πόνου τινὸς καὶ φροντίδος γίνεται, τούτοις μὲν χαίρειν λέγειν, αἱρεῖσθαι δὲ τὰς μετὰ ῥαστώνης ἡδονάς; ὡς πάντως ἐσομένων τῶν ὀφειλόντων γενέσθαι, μηδὲν αὐτοὶ περὶ αὐτῶν οἴσωσι καλόν [8]). Οὕτω δ' αὐτῶν διακειμένων, καὶ τῶν πραττομένων ἀκολουθούντων ταῖς αἱρέσεσιν αὐτῶν (οὐ γὰρ δὴ [9]) διὰ τὴν περὶ αὐτῶν ἐψευσμένην πίστιν ἄλλως πως ἕξει τὰ πράγματα ἢ ὡς ἔχει) [10]) ἄλλό τι, ἢ τῶν μὲν καλῶν παρὰ πάντων ὀλιγωρία τὶς ἔσται, (πάντων γὰρ ἡ κτῆσίς τε [11]) καὶ παρουσία τῶν τοιούτων μετὰ καμάτου περιγίνεται) τῶν δὲ κακῶν αἵρεσις, ἅτε γινομένων μετὰ ῥαστώνης τε καὶ ἡδονῆς; πρὸς οὓς τίς ἂν παρὰ τούτων [12]) εἴη λόγος, ὧν πεισθέντες τοῖς δόγμασι ἦλθον ἐπὶ ταῦτα; λέγοιεν γὰρ ἂν δικαίως πρὸς αὐτοὺς, ἐι αἰτιῷντο αὐτοὺς, ὅτι μὴ οἷόν τε ἦν αὐτοῖς, τῶν περιεστώτων ὄντων τοιούτων, ἀλλοῖόν τι πράττειν. Οἷς πῶς ἐπιτιμήσουσιν εὐλόγως οἱ διὰ τῶν δογμάτων τούτων αὐτοῖς διδάσκαλοι γεγονότες; μᾶλλον δὲ οὔτε ἐπιτιμήσεις, οὔτε κολάσεις [13]), οὔτε προτροπὴ, οὔτε τιμὴ, οὔτ' ἄλλό τι τῶν τοιούτων τὴν οἰκείαν σώσει κατ' αὐτοὺς φύσιν, ἀλλ' ἔσται καὶ τούτων ἕκαστον [14]) γινόμενον κατηναγκασμένως, ὥσπερ κἀκεῖνα, ἐφ' οἷς ταῦτα γίνεται.

veritas vim habet et ex rebus ipsis evidens testimonium. Quod si ista quae isti dicunt, cum sint talia, eam vim atque auctoritatem consequantur, ut eis credant omnes, nos nullius rei esse dominos, sed trahi nos a rebus circumstantibus, ita ut ab eis vincamur eaque approbemus, et agamus ea quae agimus, quia omnino sic agere erat necesse. (Quippe cum fieri non possit ut aliter ageremus istis rebus nos circumstantibus contraque alia non agimus ideo, quod resistere nequeamus talibus, quales sunt, rebus circum nos positis) quid aliud eveniet, quam ut omnes homines propter hanc persuasionem ea cuncta quae cum labore curaque fiunt, valere iubeant, iis autem praeferant vitam facilem et voluptatibus coniunctam, quia, cum ea tantum eventura sint, quae necessario evenient, nihil ipsi boni ex bonis actionibus sint reportaturi. Cum sic ergo affecti erunt homines et actus erunt sententiis congruentes (quippe ex eorum fallaci opinione non aliter se res habere poterunt, quam se habent) quid aliud inde exsurget, quam omnium rerum honestarum apud omnes neglectus, (talium enim et adeptio et conservatio labore constat,) et contra propensio ad prava, ut quae facile agantur et cum voluptate? Ad quos quis esse poterit sermo illorum quorum isti inducti placitis ad talia devenere? Respondebant enim illis ii qui accusabantur, non potuisse se aliud quidquam agere talibus rebus se circumstantibus: Quomodo eos iure reprehendant, qui eis per talia placita ad talem vitam magistri fuere? Imo neque obiurgationes, neque castigationes, neque exhortatio, neque laudes, nec quicquam his simile propriam suam apud eos naturam obtinere possunt. Sed horum etiam quodque fiet ex necessitate sicut illa super quibus fiunt. Quomodo enim Priami filius Alexander culpabitur, ut qui peccarit, cum Helenam raperet?

Πῶς γὰρ ἔτι Ἀλέξανδρος ὁ Πριάμου ἐν αἰτίᾳ εἴη, ὡς διαμαρτὼν περὶ τὴν τῆς Ἑλένης ἁρπαγήν; πῶς δ' Ἀγαμέμνων εὐλόγως αὑτοῦ καταψηφίζοιτο, λέγων οὐ δ' αὐτὸς ἀναίνομαι [15]*); Ἐι μὲν γὰρ εἶχεν ἐξουσίαν ὑπεριδεῖν ἢ Ἀλέξανδρος τῶν τότε περιεστώτων αὐτὸν παρακαλούντων ἐπὶ τὴν ἁρπαγὴν, ἢ Μενέλαος τῶν ἀγανακτεῖν ἐπαιρόντων, ἢ Ἀγαμέμνων ἐφ' οἷς ὡς ἀναμάρτητος αὐτοῦ* [15 a]*) κατατρέχει, εὐλόγως ἂν ἦσαν ἐν αἰτίᾳ. Ἐι δ' ἦν πάλαι καὶ πρόπαλαι, καὶ πρὸ τοῦ τὴν ἀρχήν τινα αὐτῶν γενέσθαι, ἀληθὲς περὶ ἑκάστου προλεγόμενον τούτων ἕκαστον, ἐφ' οἷς ποιήσας εὐθύνεται, πῶς ἂν ἔτ' αὐτοὶ τῶν γινομένων* [16]*) τὴν αἰτίαν ἔχοιεν; Πῶς δέ τις ἐξηγήσεται καὶ τὸ ἐφ' ἡμῖν εἶναι τάς τε ἀρετὰς καὶ κακίας* [17]*); Ἐπεί γε οὕτως ὄντων ἡμῶν* [18]*), πῶς ἔτ' ἂν εὐλόγως οἱ μὲν εἶεν ἐν ἐπαίνοις, οἱ δὲ ἐν ψόγοις; Ὀυδὲν γὰρ ἀλλ' ἢ συνηγορίαν τοῖς κακοῖς τὸ δόγμα τοῦτο προξενεῖ. Ὁρῶμεν γοῦν τῶν μὲν ἀγαθῶν τε καὶ καλῶν πράξεων οὐδένα τὴν εἱμαρμένην, οὐδὲ τὴν ἀνάγκην αἰτιώμενον, τοὺς δὲ κακοὺς δι' ἐκείνην τοιούτους εἶναι λέγοντας. Ὁ πιστεύσαντες καὶ τοὺς φιλοσόφους λέγειν, πῶς οὐ μετὰ παῤῥησίας αὐτοί γε ἐπὶ ταῦτα ἐλεύσονται, τούς τε ἄλλους προτρέψουσιν;*

ΙΖ.

Πῶς δ' ἂν σώζοιεν τοιαῦτα λέγοντες τὴν ὑπὸ τῶν θεῶν γινομένην τῶν θνητῶν πρόνοιαν; ει. γὰρ αἵ τε τῶν θεῶν ἐπιφάνειαι, ἅς φασι γίνεσθαί τισι, κατά τινα γίνονται προκαταβεβλημένην αἰτίαν, ὡς πρὸ τοῦ γενέσθαί τινα αὐτῶν, ἀληθὲς εἶναι τὸ τοῦδε μὲν ἔσεσθαί τινα ἐκ θεῶν κηδεμονίαν, τοῦδε δὲ μὴ, πῶς ἂν ἔτι τοῦτο πρόνοιάν τις [1]*) δικαίως λέγοι, τὴν οὐ κατ' ἀξίαν γιγνομένην, ἀλλὰ κατά τινα ἀνάγκην προκαταβεβλημένην; πῶς δ' ἂν σώζοιτο καὶ ἡ πρὸς τοὺς θεοὺς εὐσέβεια τῶν εὐσεβεῖν δοκούντων, διότι μὴ ἐπ' αὐτοῖς*

Quomodo Agamemnon recte semet condemnavit dicens nec ego id nego? Nam si Alexander potestatem habuit spernendi omnia ista circumstantia, quae ad raptum eum incitabant, aut Menelaus ea, quae ad iram eum impellebant, aut Agamemnon ea ob quae semet, ut sontem accusat, iuste omnes illi culparentur. At si olim et ante olim, et antequam ullum illarum rerum initium exsisteret, verum fuit id quod iam de singulis diximus, id ipsum nempe, ob quod quisque reprehenditur, quomodo ipsi de his quae facta sunt culpam ferent? Tum vero quomodo quisquam explicabit in nobis esse virtutes et vitia? Quomodo si ita facti sumus, iuste alii florebunt laudibus, alii dedecore adspergentur? Nihil enim haec sententia praebet, nisi patrocinium malis actibus. Videmus enim pulchris honestisque actionibus neminem esse qui Fatum causam adscribat, at contra qui mali sunt dicere se tales esse vi Fati, qui ubi audirent hoc et philosophos dicere, quomodo non abiecto pudore et ipsi ad talia procedent, et alios ad eadem hortabuntur?

XVII.

Quomodo autem qui sic sentiunt tueri poterunt Deorum de rebus humanis curam? Nam si Deorum ostenta, quae interdum evenisse dicuntur, facta sunt ex causa anteiacta, ita ut nondum nato illorum hominum aliquo verum fuerit a Deis aliquod huic auxilium fore, quomodo quaeso hoc ipsum curam alicui providentem vocat, si ea non ex meritis provenit, sed ex ante posita necessitate? quomodo etiam defendetur adversum Deos pietas eorum qui pii censentur, si in ipsis non fuit hoc non facere tunc cum facerent?

ἦν τὸ τοῦτο μὴ ποιεῖν οὕτω ποιούντων; Γίνοιτο δ' ἂν καὶ παρὰ τῶν θεῶν ἐις οὓς γίνεταί τι παρὰ τοὺς ἄλλους πλέον, ὅτι καὶ τούτων ἦσαν αἱ ἀρχαὶ καὶ πρὸ τοῦ τούτους ἐῖναι προκαταβεβλημένάι [2]); πῶς δ' οὐκ ἀναιροῖ ἂν [3]) καὶ μαντικὴν, τῆς ἀπὸ μαντικῆς χρείαις ἀναιρουμένης; τί γὰρ ἂν ἢ μαθεῖν, ἢ διὰ τὸ μαθεῖν παρὰ τῶν μαντέων φυλάξαιτ' ἄν τις [4]), ἐι μόνα ταῦτα ἡμῖν τε μαθεῖν [5]), ἐκείνοις τε μηνῦσαι δυνατὸν, ὧν τοῦ μαθεῖν ἡμᾶς καὶ ποιῆσαι ἢ μὴ ποιῆσαί τι ἕκαστον ἦν καὶ πρὸ τῆς ἡμετέρας γενέσεως κατηναγκασμένον; τοῦτε ἐμμένειν [6]) τοῖς ὑπὸ τῶν θεῶν προαγορευομένοις οὐχ' ἡμεῖς κύριοι, τῷ τῶν ἐσομένων ὑφ' ἡμῶν προκαταβεβλῆσθαι τὰς ἀιτίας.

ΙΗ.

Ἀλλ' ὅτι μὲν τὸ δόγμα τοῦτο ἀνατροπῆς ἀίτιον παντὸς τοῦ τῶν ἀνθρώπων βίου, παντί που μαθεῖν ῥάδιον. Ὅτι δὲ καὶ ψεῦδος, ἱκανὸν μαρτύριον τὸ μηδ' ἀυτοὺς τοὺς προστάτας ἀυτοῦ δύνασθαι πείθεσθαι τοῖς ὑφ' ἀυτῶν λεγομένοις. Ὁύτω γὰρ ἐν πᾶσι τοῖς λόγοις φυλάσσουσι τὸ ἐλεύθερόν τε καὶ ἀυτεξούσιον, ὡς μὴ ἀκούσαντές ποτε παρ' ἄλλου τοιούτου τινὸς δόγματος, τοῦτο μὲν προτρέπειν [1]) τινὰς πειρώμενοι, ὡς τοῦ τε ποιεῖν ἢ μὴ ποιεῖν τοῦτο τὴν ἐξουσίαν ἔχοντες ἀυτοὶ, καὶ τῶν προτρεπομένων [2]) διὰ τοὺς παρ' ἀυτῶν λόγους [3]) αἱρεῖσθαί τινα δυναμένων, ὧν ἔπραξαν ἂν [4]) τἀναντία ἀυτῶν σιωπώντων, τοῦτο δὲ ἐπιτιμῶντες καὶ ἐπιπλήττοντες τισὶν, ὡς οὐ τὰ προςήκοντα πράττουσιν. Ἀλλὰ καί συγγράμματα πλεῖω καταλείπουσί τε καὶ συγγράφουσι, δι' ὧν ἀξιοῦσι παιδεύεσθαι τοὺς νέους, οὐχ ὡς κεκωλυμένοι τοῦτο συγγράφειν διὰ τὸ τὰ περιεστῶτα ἀυτοῖς ἐῖναι τοιαῦτα, ἀλλ' ὡς ὂν μὲν ἐπ' ἀυτοῖς συγγράφειν τε καὶ μὴ, αἱρούμενοι δὲ τὸ γράφειν διὰ φιλανθρωπίαν.

Quomodo etiam plus aliquid illi quam caeteri a Diis consequentur, quandoquidem etiam istarum rerum principia multo ante erant et prius quam isti nascerentur? Quomodo non et divinatio tollatur sublata divinationis utilitate? Quid enim opus erit discere quae vates monent, aut quid per eorum monita cavere quis poterit, si nobis ea tantum datur cognoscere, illis vero significare quae et nos cognoscere et aut facere aut non facere singula ante ortum nostrum necessitate conclusum erat? Non ergo nos arbitrium habemus ea observandi quae a Diis praesignificantur, cum iam olim causae antegressae sint eorum quae per nos sunt futura.

XVIII.

Quare facile est cuivis perspicere in hoc placito causam esse evertendae vitae totius. Falsum vero insuper esse quod docent, documento sit, quod nec ipsi talis doctrinae principes obsequi possunt iis, quae ab ipsis dicuntur. Ita enim in omnibus sermonibus conservant libertatem, et id quod penes nos est, quasi a nullo unquam hominum tale dogma audissent: partim cum aggrediuntur monere alios, tanquam qui liberam hoc faciendi vel non faciendi habeant potestatem, et tanquam qui admonentur per eorum sermones, aliqua facere possint, quorum fecissent contraria ipsis tacentibus: partim cum culpant et obiurgant alios tanquam facientes quae non decet. Sed et opera multa scribunt, et post se relinquunt, per quae volunt instituere adolescentes, tanquam qui non prohibeantur ista scribere, ideo quod circumstantia sint huius vel illius modi, sed ut in potestate sua habentes id vel facere vel non facere, attamen malentes scribere ob amorem in genus humanum.

ΙΘ.

Ἐπαύσαντο δ᾽ ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας καὶ συγχωρήσαιντο εἶναι τὸ ἐφ᾽ ἡμῖν ἐλευθερόν τε καὶ αὐτεξούσιον καὶ κύριον τῆς τῶν ἀντικειμένων αἱρεσεώς τε καὶ πράξεως, ἐπὶ περιεστῶσιν ἄνθρωποι δίκαιοι γίνεσθαι πεπιστευμένοι ὁμοίως ἰδιώταις καὶ νομοθέταις [2]). Ἐστὶ δὲ τοῦτο [3]) τὸ συγγινώσκεσθαι μὲν ἀξίους εἶναι τοὺς ἀκουσίως τοιοῦτόν τι πράξαντας, οὐχ ὡς ἐπὶ τῷ γινομένῳ πράγματι [4]) τῆς κολάσεως ὁριζομένης, ἀλλ᾽ ἐπὶ τῷ τρόπῳ τῆς πράξεως, ὅπερ οὔτε τῶν ἄλλων τὶς, οὔτε αὐτῶν τούτων ὡς οὐ καλῶς ἔχον, αἰτιᾶται. Καί τοι τί τῶν δι᾽ ἄγνοιαν πραττομένων [5]), ἁμαρτανόντων ἢ βίᾳ ἧττον ἂν εἶεν συγγνώμης ἄξιοι, εἰδότες μὲν ἃ πράττουσιν, οὐκ ἔχοντες δὲ ἐν αὐτοῖς τὴν ἐξουσίαν, τοῦ (τούτων αὐτοῖς περιεστώτων [6]), ἃ πάντως αὐτοῖς καὶ ἐξ ἀνάγκης περιεστᾶναι δεῖ) ἄλλο τι [πράττειν,] [7]) παρ᾽ ἃ πράττουσι; τῷ τὴν φύσιν αὐτῶν εἶναι τοιαύτην, καὶ εἶναι τὸ κατὰ τὴν οἰκείαν αὐτοῖς φύσιν ἕκαστον πράττειν; ὧν πράττουσι καθ᾽ εἱμαρμένην, ὡς τοῖς βάρεσιν ἀφεθεῖσιν [7 b]) ἄνωθεν τὸ φέρεσθαι κάτω, καὶ τοῖς περιφερέσι τὸ κατὰ τοῦ πρανοῦς, εἰ ἀφεθεῖεν ἀφ᾽ αὐτοῦ, κινεῖσθαι. Ὅμοιον γὰρ τὸ τοῦ τὸν ἵππον κολάζειν ἀξιοῦν, ὅτι μὴ ἔστιν ἄνθρωπος, καὶ τῶν ἄλλων ζώων ἕκαστον, ὡς ταύτης τῆς ψυχῆς [8]) καὶ μὴ βελτίονος τετυχήκασι τινες. Ἀλλ᾽ οὐδεὶς Φάλαρις οὕτως ὠμός τε καὶ ἀνόητος ὡς ἐπί τινι τῶν οὕτω γινομένων κολάζειν τὸν ποιήσαντα. Ἐπὶ τίσιν οὖν αἱ κολάσεις εὔλογοι [9]); οὐχ ἐπ᾽ ἄλλοις τισίν; ἐπὶ [9 a]) τοῖς παρὰ τὴν αὐτῶν μοχθηρὰν αἵρεσιν γινομένοις. Ἐφ᾽ ὧν γὰρ αὐτοὶ τὴν ἐξουσίαν τῆς αἱρέσεως ἔχοντες, καταλιπόντες τὸν σκοπὸν τῶν πραττομένων, ὑφ᾽ αὐτῶν [10]) ποιεῖσθαι τότε καλὸν καὶ τὸν νόμον [11]), κέρδους [12]) χάριν, ἢ ἡδονῆς τινος, ὑπερορῶντες ἐκείνων πράττουσι τὰ φαῦλα, τούτους

XIX.

Abstinerent vero ab ambitioso certamine et concederent esse in nobis aliquid liberum et solutum, et ius habens contrariorum vel hoc vel illud et eligendi et agendi homines qui ex circumstantiis iusti censentur tam a privatis quam a legum conditoribus. Hoc autem fit si dignos habent quibus ignoscatur eos qui non sponte aliquid fecerunt, tanquam poena non definita in ipsas res quae fiunt, sed in modum quo fiunt. Est autem hoc tale quod nec alius quisquam, nec ipsi illi accusare possent, ut non recte institutum. Cum vero minus iis qui per ignorantiam decepti aut per violentiam coacti delinquunt digni sint quibus ignoscatur, hi qui norunt quidem quid faciant, sed potestatem non habent talibus eos rebus circumstantibus, quae omnino illos et necessario circumstare debent, aliud quid faciendi quam quod faciunt, ideo quod talis sit eorum natura, et secundum naturam propriam ea faciunt quae faciunt fato, sicut natura est ponderosorum si de sublimi iaciantur, ferri deorsum, et rotundis circummoveri, si iaciantur per declive. Ob talia punire homines perinde habet, ac si equum punias ideo quod homo non est, aut aliorum animantium aliquod, ideo quod animam habet qualem habet, et non meliorem. At nemo Phalaris adeo simul et saevus est et amens, ut aliquem puniat, quod fecerit ea, quae istum in modum fiunt. In quibus igitur iustae sunt poenarum exactiones? in nullis aliis rebus nisi iis quae homines perverso suo dilectu delinquunt. Nam quicunque, in quibus ipsi deligendi arbitrium habent derelicto proposito ut agendorum ea faciant quae honesta sunt et legi consentanea, lucro addicti aut voluptatis illecebris, illis omissis faciunt quae sunt prava, eos poenis dignos iudicant homines omnes veniamque im-

ἀξίους ἡγοῦνται κολάσεως πάντες ἄνθρωποι, συγγνώμην διδόντες τοῖς οὐχ οὕτως ἁμαρτάνουσιν. Ὅρα δὴ [13]) πᾶσι τοῖς κακοῖς τὸ θαυμαστὸν δόγμα τοῦτο παρὰ τῶν φιλοσόφων μαθοῦσιν, διδάσκειν τοὺς διδάσκοντας, ὅτι εἰσὶ καὶ αὐτοὶ συγγνώμης ἄξιοι [14]) οὐδὲν ἔλαττον τῶν ἀκουσίως ἁμαρτανόντων· οὐ γὰρ ὑπό τινος ἔξωθεν καταναγκάζοντος αὐτοὺς ποιοῦσιν ἃ ποιοῦσιν [15]), ὧν ἴσως ἐνῆν αὐτοῖς καὶ φυλάξασθαι, ἀλλ' ὑπὸ τῆς φύσεως τῆς ἐν αὐτοῖς οὐδὲν οἷόν τ' ἐστι λαθόντας ποιῆσαι [16]), ἥτις οὖν αὐτοῖς [17]) τοῖς ἁμαρτανομένοις [18]) αἴτιος. Εἰ δὲ οὔτ' ἄλλός τις οὐδ' οὗτοι δόγματος τούτου κύριοι συγγνώμην δοῖεν τινὶ ταύτην [19]) τῶν ἁμαρτανομένων φέροντι τὴν αἰτίαν, ὡς ψεῦδός τι καὶ ψευδῆ λέγοντι, δῆλον ὡς ὑπὸ τούτων καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων ὁμοίως πεπίστευται τὸ εἶναι τὸ ἐφ' ἡμῖν οὐχ οἷον ὑπὸ τούτων πλάσσεται, ὅταν εἰς τὸ πρόβλημα μελετῶντες λέγωσιν, ἀλλ' οἵῳ εἶναι [20]) αὐτῷ δεῖ, διὰ τῶν ἔργων οὗτοί τε αὐτοὶ καὶ πάντες ἄνθρωποι μαρτυροῦσιν. Εἰ γὰρ ἦσαν οὕτως ἔχειν πεπιστευκότες, συνεγίνωσκον ἂν πᾶσι τοῖς ἁμαρτάνουσιν, ὡς οὐκ ἔχουσι τοῦ μὴ πάντα πράττειν ἐξουσίαν.

K.

Ἀλλ' ὅτι μέν ἐστι τὶ ἐφ' ἡμῖν ὀνομάσαι [1]), καὶ οὐ διὰ τὴν ἐξουσίαν ταύτην ἀναιτίως τὶ γίνεται, τῷ τῶν οὕτω γινομένων αἴτιον τὸν ἄνθρωπον εἶναι, ἀρχὴν αὐτὸν ὄντα τῶν γινομένων ὑφ' αὑτοῦ, ἱκανὰ μὲν δεῖξαι καὶ τὰ εἰρημένα. Ἱκανῶς δ' ἂν ἐπείσθησαν καὶ οἱ ἀντιλέγειν πρὸς αὐτὸ πειρώμενοι, εἰ κἂν πρὸς ὀλίγον πάντα ἃ πράττουσιν ὑπέμειναν πρᾶξαι [2]), ὡς ἀληθεύοντες περὶ ὧν λέγουσι, πιστεύσαντες τῷ μηδὲν τῶν γινομένων ὑπό τινος [3]) οὕτω γίνεσθαι, ὡς καὶ τοῦ μὴ πράττειν αὐτὸ τὴν ἐξουσίαν ἔχοντος τότε [4]). Τῷ γὰρ τούτῳ πεπιστευμένῳ οὐκ ἐπιτιμῆσαί τινι, οὐκ ἐπαινέσαι τινὰ, οὐ συμβουλεῦσαί τινι, οὐ προτρέ-

pertinentur illis qui non eo modo peccant. Vide nunc quomodo hominibus flagitiosis, qui hanc sententiam a philosophis hausere, instillent magistri talium, non minus ipsos venia esse dignos quam eos qui non sponte peccant. Non enim illi (sic aiunt) aliqua externa vi cogente, quae tamen forte et caveri potuit, faciunt quae faciunt, sed ab ipsa quae inter ipsos est, natura, ita ut aliter agere non potuerint, quae igitur ipsis est peccandi causa. Quod si nec alii nec illi ipsi qui sententiam istam possident, veniam daturi sunt istam adferenti peccandi causam, tanquam mendaci et falsa dicenti, manifestum est ab illis ipsis non minus quam ab aliis credi esse aliquid in nostra potestate, non quomodo illi hoc loquendi genus explicant, ubi industriam omnem conferunt ad tuendam assertionem suam, sed quale illud debere intelligi ipsis, factis et ipsi et alii homines testantur. Nam si plane crederent rem sicut dicunt, se habere, omnibus peccantibus ignoscerent, ut qui non habuerint non sic agendi libertatem.

XX.

Esse igitur revera aliquid, quod in potestate nostra dicendum sit, neque ob hanc libertatem res sine causa fieri, ideo quod quae sic fiunt, eorum causa sit homo ipse, principiumque agendi eorum, quae a se fiunt, satis manifestum faciunt iam dicta; satis etiam id sibi persuaderent ipsi illi, qui contra conantur dicere, si eorum quae agunt, vel tantillum sic agere sustinerent, tanquam vera dicentes; (id est, si persuasum haberent nihil eorum quae ab aliquibus fiunt, ita fieri, ut iidem simul non id agendi tunc habuerint libertatem.) Nam qui id sibi persuaserit, is fieri non potest ut aliquem culpet, ut aliquem laudet, ut hortetur aliquem,

ψασθαί τινα, οὐκ εὔξασθαι θεοῖς, οὗ χάριν αὐτοῖς γνῶναι περί τινων, οὐδ' ἄλλο τι ποιεῖν οἵοντε τῶν ὀφειλομένων εὐλόγως γίνεσθαι ὑπὸ τῶν καὶ τοῦ ποιεῖν ἕκαστον, ὧν ποιοῦσι τὴν ἐξουσίαν πεπιστευκότων. Ἀλλὰ μὴν ἔξω τούτων ἀβίωτος ὁ τῶν ἀνθρώπων βίος [3]*, καὶ οὐδὲ τὴν ἀρχὴν ἀνθρώπων ἔτι.*

ΚΑ.

Μηδὲ ἐκεῖνο δὲ ἡμῖν ἀνεξέταστον παραλελείφθω, εἴ τις ὑπόθοιτο [1]*) μηδὲν μᾶλλον ἀληθῆ εἶναι τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν, ὡς ἡμεῖς τε ἀξιοῦμεν* [2]*) καὶ ἡ τῶν πραγμάτων φύσις ἔχειν μαρτυρεῖ, τοῦ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι καὶ καθ' εἱμαρμένην, ἀλλ' εἶναι ἐπίσης ἑκάτερον ἢ πιστὸν ἢ ἄδηλον αὐτὸ* [3]*), ποτέρᾳ δόξῃ πείθεσθαι τοῖς ἀνθρώποις ἀσφαλέστερόν τε καὶ ἀκινδυνότερον, καὶ ποῖον ψεῦδος αἱρετώτερον, πότερον, τὸ πάντων γινομένων* [4]*) καθ' εἱμαρμένην, τὰ μὴ οὕτως ἔχειν* [5]*) ὑπολαμβάνειν, ἀλλ' εἶναι καὶ ἡμᾶς τοῦ τὶ πρᾶξαι ἢ μὴ πρᾶξαι κυρίους, ἢ ὄντος τινὸς καὶ ἐφ' ἡμῖν, οὕτως ὡς προειρήκαμεν, πεπεῖσθαι τοῦτο μὲν ψεῦδος εἶναι, πάντα δὲ καὶ τὰ ὑφ' ἡμῶν πραττόμενα κατὰ τὴν ἡμετέραν ἐξουσίαν γίνεσθαι* [5]*) κατηναγκασμένως. Ὀυ γνώριμον* [6]*) ὅτι οἱ μὲν ἁπάντων γινομένων καθ' εἱμαρμένην αὑτοὺς πειθόντες, ὡς ἐξουσίαν ἔχοντάς τινων τοῦ τε πράττειν αὐτὰ καὶ μὴ, οὐδὲν ἂν παρὰ τήνδε τὴν πίστιν ἐν τοῖς πραττομένοις ἁμάρτοιεν, τῷ μηδὲ τὴν ἀρχὴν τῶν γινομένων τινὸς ὑφ' αὑτῶν εἶναι κύριοι* [7]*); ὥσθ' ὁ κίνδυνος* [8]*) τῆς κατὰ τούτων διαμαρτίας πρόεισι μέχρι ῥημάτων. Ἐι δέ γε ὄντός τινος καὶ ἐφ' ἡμῖν, καὶ μὴ ἁπάντων τῶν γινομένων ἐξ ἀνάγκης, πείθεσθαι* [8b]*) μὲν μηδενὸς ὄντας κυρίους πολλα παραλείποιμεν τῶν δεόντως ἂν πραχθέντων ὑφ' ἡμῶν καὶ διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν, καὶ διὰ τὸ* [9]*) τοὺς ἐπὶ τοῖς πραττομένοις καμάτους προθύμως ὑφίστασθαι, ἀργότεροι γενόμενοι πρὸς τὸ δι' αὑτῶν τὶ*

ut precetur Deos, ut gratias eis agat, ut denique agat quicquam eorum, quae par est fieri ab iis qui credunt in potestate esse cuiusque agere quae agit. Imo sine his vita, hominum vitalis non foret, certe non humana.

XXI.

Sed nequidem sine examine transiri debet, si quis ponat nihilo verius esse aliquid in nostra potestate, sicut nos adstruimus, et ipsa nobis attestatur rerum natura, quam omnia Fati et necessitatis impulsu fieri, sed utrumvis ex aequo esse aut certum aut incertum, utram sententiam hominibus persuaderi sit tutius, et a periculo remotius, et uter error sit tolerabilior, nempe si cuncta Fato fiant, non id credere, sed existimare nos aliquid agendi aut non agendi esse dominos, an vero, si aliquid sit potestatis nostrae, ut iam esse diximus, opinari id esse falsum, contra vero cuncta quae fiunt etiam ex nostro arbitratu, ea necessario fieri. Nonne manifestum eos quidem qui licet cuncta Fato fiant, credant tamen aliquam se habere agendi vel non agendi potestatem, nihil ob hanc opinionem circa res agendas peccare, quia scilicet nunquam omnino domini erant suarum actionum; quare si quis in eo erit error, iis intra verba consistet. At vero si aliter se res habet, et aliquid est nostrae potestatis, nec cuncta fiant inevitabiliter, et nos credamus nullius actionis nos esse dominos, multa ob id possumus omittere eorum quae fieri poterant, quaeque fieri oportebat, nempe si consilium cepissemus, et si labores qui ad res agendas sunt necessarii, prompto suscepissemus animo, ad quae istis modis agenda tardiores scilicet nos fecerit ista opinio, futurum etiam nobis non curantibus id quod fieri erat necesse.

ποιεῖν, διὰ τὴν πίστιν τοῦ καὶ μηδὲν ἡμῶν πραγματευομένων περὶ τῶν πρακτέων, τὸ ὄφειλον γενέσθαι. Ὅυτω δὲ τούτων ἐχόντων, πρόδηλον ὡς αἱρετώτερον τοῖς φιλοσοφοῦσι τὴν ἀκινδυνότερον ὁδὸν ἀυτούς τε αἱρεῖσθαι, καὶ τοὺς ἄλλους ἄγειν.

KB.

Ὀυ χεῖρον δὲ τούτων προτεθεωρημένων, καὶ ἀυτὰ τὰ περὶ τῆς ἑιμαρμένης ὑπ᾽ ἀυτῶν λεγόμενα παραθεμένους [1]), ἰδεῖν ἑί τινα τοιαύτην ἔχει βίαν [2]), ὡς ἐύλογον ἐῖναι διὰ τὴν πρὸς τὸ ἀληθὲς οἰκειότητα κα τῶν ἐναργῶν ὁύτως ὑπερορᾷν. Ἔσται δὲ ἡμῖν καὶ ὁ περὶ τούτων λόγος ἐπὶ τοσοῦτον, ἐφ᾽ ὅσον ἐστὶ χρήσιμος πρὸς τὰ προκείμενα. Φασὶ δὴ τὸν κόσμον τόνδε ἕνα ὄντα, καὶ πάντα τὰ ὄντα ἐν ἀυτῷ περιέχοντα, καὶ ὑπὸ φύσεως διοικούμενον ζωτικῆς τε καὶ λογικῆς καὶ νοερᾶς, ἔχειν τὴν τῶν ὄντων διοίκησιν ἀΐδιον κατὰ ἑιρμόν τινα καὶ τάξιν προϊοῦσαν, τῶν πρώτων τοῖς μετὰ ταῦτα γινομένοις ἀιτίων γινομένων, καὶ τούτῳ τῷ τρόπῳ συνδεδεμένων [3]) ἁπάντων ἀλλήλοις, καὶ μήτε ὁύτω τινὸς ἐν ἀυτῷ γινομένου, ὡς μὴ πάντως ἐπακολουθεῖν ἀυτῷ καὶ συνῆφθαι ὡς ἀιτίῳ ἕτερόν τι, μήτ᾽ ἀῦ τῶν ἐπιγινομένων τινὸς ἀπολελύσθαι δυναμένου τῶν προγεγονότων, ὡς μή τινι ἐξ ἀυτῶν ἐπακολουθεῖν [4]) ὥσπερ συνδεόμενον, ἀλλὰ παντί τε τῷ γινομένῳ ἕτερόν τι ἐπακολουθεῖν, ἠρτημένον ἐξ ἀυτοῦ ἐπ᾽ ἀνάγκης, ὡς ἀιτίου, καὶ πᾶν τὸ γινόμενον ἔχειν τι πρὸ ἀυτοῦ, ᾧ ὡς ἀιτίῳ συνήρτηται· μηδὲν γὰρ ἀναιτίως μήτε ἐῖναι μήτε γίνεσθαι τῶν ἐν τῷ κόσμῳ, διὰ τὸ μηδὲν ἐῖναι ἐν ἀυτῷ ἀπολελυμένον τε καὶ κεχωρισμένον τῶν προγεγονότων ἁπάντων· διασπᾶσθαι γὰρ καὶ διαιρεῖσθαι καὶ μηκέτι τὸν κόσμον ἕνα μένειν ἀεὶ, κατὰ μίαν τάξιν τε καὶ οἰκονομίαν διοικούμενον, ἑι ἀναίτιος τις ἑισάγοιτο κίνησις, ἣν ἑισάγεσθαι, ἑι μὴ πάντα τὰ ὄντα τε καὶ γινόμενα ἔχει τινὰ ἄιτια προγεγονότα,

Quae cum ita se habeant, in aperto est sapientiae studiosis eam viam praeferendam, quam et ipsi ineant tutius et tutius aliis monstrent.

XXII.

His bene consideratis non abs re erit in conspectu ponere, quae ab illis de Fato dicuntur, ut videamus ecquam illam habeant vim tantam, ut aequum sit propter eam quam ista habent cum vero propinquitatem, illa alia adeo perspicua deseri. Loquemur autem ea de re quantum huic instituto conducet. Aiunt igitur: cum universum hoc unum sit, et res omnes in se contineat, et a natura regatur vivente, rationis usum et intelligentiam habente, esse in eo gubernationem quandam perpetuam, quae serie, atque connexu procedat tali, ut antecedentia post futurorum sint causae: atque ita aptis inter se et consertis rebus omnibus ita, ut in hoc toto nihil fiat, cui non sit aliud quippiam consequens et, ut causae suae, connexum, nec vero quicquam eorum quae sequuntur ita solvi posse ab antegressis rebus, ut non velut eis adiunctum sequi habeat necesse; sed omni rei quae fiat, aliud esse consequens, quod ab ea tanquam causa sua necessitatis vinculo pendeat: et contra quicquid fit id habere aliquid antepositum, cui ut causae cohaereat. Nihil quippe sine causa in hoc Mundo aut esse aut fieri quia nihil in ipso sit solutum et separatum ab antegredientibus causis. Fore enim ut divellatur dirimaturque hoc Universum, nec amplius sit unum gubernatum uno ordine atque dispensatione, si qua motio oriatur sine causa, quam induci, si non omnia quae sunt quaeque fiunt habeant causas antegressas quas ipsa necessario sequantur. Quippe ut aliud fiat sine causa, id plane simile

οἷς ἐξ ἀνάγκης ἕπεται. Ὁμοιόν τε εἶναι φασὶ καὶ ὁμοίως ἀδύνατον τὶ ἀναιτίως, τῷ γίνεσθαί τι [5]) ἐκ μὴ ὄντος. Τοιαύτην δὲ οὖσαν τὴν τοῦ παντὸς διοίκησιν ἐξ ἀπείρου ἐις ἄπειρον ἐναργῶς τε καὶ ἀκαταστρόφως γίνεσθαι. Ὀύσης δέ τινος διαφορᾶς ἐν τοῖς αἰτίοις, ἣν ἐκτιθέντες (σμῆνος γὰρ ἀιτίων καταλέγουσι [6]) τὰ μὲν προκαταρκτικὰ, τὰ δὲ συναίτια, τὰ δὲ ἑκτικὰ, τὰ δὲ συνεκτικὰ, τὰ δὲ ἄλλο τι· οὐδὲν γὰρ δεῖ τὸν λόγον μηκύνειν ἐις πάντα τὰ λεγόμενα [7]) παρατιθεμένους [8]) τὸ βούλημ' ἀυτῶν δεῖξαι τοῦ περὶ τῆς ἑιμαρμένης δόγματος). Ὄντων δὲ πλειόνων [9]) ἀιτίων, ἐπίσης ἐπὶ πάντων ἀυτῶν ἀληθές φασιν ἐῖναι τὸ ἀδύνατον ἐῖναι, τῶν ἀυτῶν ἁπάντων περιεστηκότων περί τε τὸ ἀίτιον, καὶ ᾧ ἐστιν ἀίτιον, ὁτὲ μὲν δὴ μὴ οὕτω συμβαίνειν, ὁτὲ δὲ οὕτως [10])· ἔσεσθαι γὰρ, ἐι οὕτω γίνοιτο, ἀναίτιόν τινα κίνησιν. Τὴν δὲ ἑιμαρμένην ἀυτὴν, καὶ τὴν φύσιν καὶ τὸν λόγον, καθ' ὃν διοικεῖται τὸ πᾶν, θεὸν ἐῖναι φασὶν, οὖσαν [11]) ἐν τοῖς οὖσί τε καὶ γινομένοις ἅπασι, καὶ οὕτω χρωμένην ἁπάντων τῶν ὄντων τῇ οἰκείᾳ φύσει πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν. Καὶ τοιαύτη μὲν, ὡς διὰ βραχέων ἐιπεῖν, ἡ περὶ τῆς ἑιμαρμένης ὑπ' ἀυτῶν καταβεβλημένη δόξα.

ΚΓ.

Ἔστι δὲ τὸ ψεῦδος τῶν λεγομένων οὐ λόγων τινῶν οὐδ' ἐλέγχων ἔξωθεν δεόμενον, ἀλλ' ἀυτόθεν γνώριμον. Τίς γὰρ ἔλεγχος λόγου φανερώτερος τοῦ μὴ ἐφαρμόζειν τούτοις περὶ ὧν λέγεται; Τὸ γοῦν πρῶτον ἐιρημένων ὡς πάντων τῶν ὄντων ἀιτίων τινῶν γινομένων [1]), μετὰ ταῦτα [2]) καὶ τούτῳ τῷ τρόπῳ ἐχομένων ἀλλήλων τῶν πραγμάτων, τῷ δίκην ἁλύσεως τοῖς πρώτοις συνηρτῆσθαι τὰ δεύτερα, ὃ ὥσπερ οὐσίαν τῆς ἑιμαρμένης ὑποτίθενται, πῶς οὐ φανερῶς ἀπάδει τῶν πραγμάτων [3]); Ἐι γὰρ τῶν τέκνων οἱ πατέρες ἀίτιοι, καὶ δεῖ

esse nec magis posse fieri, quam ut aliquid oriatur ex eo quod non sit. Talis autem cum sit huius Universi gubernatio, eam ex immenso tempore in immensum efficaciter et indeclinabiliter procedere. Cum vero sit aliqua in causis diversitas, (nam nubem illi causarum citant distinguuntque ita ut alias causas vocent primordiales, alias adiuvantes, alias individuas, alias efficientiam in se continentes, alias alio nomine; neque enim necesse est sermonem protrahere omnia referendo, cum propositum nobis sit ostendere praetextus quos habent sui de Fato placiti:) cum inquam diversimodae sint causae, ex aequo tamen de omnibus illis hoc aiunt verum, fieri nequire, ut iisdem rebus circumstantibus, tum circa causam, tum circa id, quod ex causa fluit, aliquando certum aliquid fiat, aliquando id non fiat, aut sic aut aliter fiat. Nam id si fieret, tum futuram aliquam sine causa motionem. Fatum autem ipsum et naturam et rationem per quam regantur cuncta, Deam esse dicunt, quae sit in omnibus quae sunt quaeque fiunt et sic utatur propria cuiusque rei natura ad totius summae gubernationem. Haec igitur est breviter loquendo opinio de Fato ab illis exstructa.

XXIII.

Falsitas autem eorum quae dicunt, non multis extrinsecus verbis argumentisque indiget, sed per se patet. Quae enim refutatio eorum apertior quam si ea non conveniunt rebus de quibus loquuntur? Quod enim primum dicunt, cum in omnibus rebus causae aliquae exsistant, alia postea subsequi et hoc modo consertis inter se rebus tanquam catena quadam pendere secunda a primis, in quo ipsam constituunt Fati naturam, quam apertissime rebus disconvenit? Nam si filiorum patres sunt causa, et ex proprietatibus quae-

κατ' οἰκειότητα τὰς αἰτίας ἀπαιτεῖν, ὡς ἀνθρώπου μὲν ἄνθρωπον αἴτιον εἶναι, ἵππου δὲ ἵππον, τίνος αἴτιοι τῶν μετ' αὐτοὺς οἱ τὴν ἀρχὴν μηδὲ γήμαντες. τίνος δὲ οἱ παῖδες οἱ πρὸ τῆς ἡλικίας διαφθαρέντες; πολλὰ γὰρ τῶν γινομένων ὑπὸ τῆς κατὰ τὸ ποσὸν ἐλλείψεως 4), ἢ μὴ κινηθέντα, ἢ φθαρέντα πρότερον οὐδενὸς ἔφθη γενόμενα [τῷ] κατὰ τὴν ὑπάρχουσαν δύναμιν 5) αὐτοῖς, αἴτια. Τίνος δὲ ἐροῦσιν αἴτια τὰ ἔν τισι μέρεσι τοῦ σώματος φυόμενα περιττώματα; τίνος δὲ τὰ τέρατά τε, καὶ γινόμενα παρὰ φύσιν, ἃ τὴν ἀρχὴν οὐδὲ διαμένειν οἷά τε; Ἐι δ' ὁ μὲν φλοιὸς ἐν τοῖς φυτοῖς 6) ἕνεκα τοῦ περικαρπίου, τὸ δὲ περικάρπιον τοῦ κάρπου χάριν, καὶ ἀρδεύεται μὲν ἵνα τρέφηται, τρέφεται δὲ ἵνα καρποφορῇ, ἀλλ' ἔστι γε πολλὰ ἐν αὐτοῖς εὑρεῖν, καὶ μὴ τοῦτον γινόμενα τὸν τρόπον. Τίνος γὰρ ἄν τις εἴποι τὰ σεσηπότα, καὶ τὰ ξηρανθέντα 7) τὰ καρπῶν αἴτια τῶν μετὰ ταῦτα, τίνος δὲ τὴν τινῶν φύλλων διδυμότητα 8); ἐξ ὧν φανερὸν τοῖς ὁρᾶν τἀληθῆ βουλομένοις τε καὶ δυναμένοις, ὅτι ὥσπερ οὐ πάντα δυνατὸν ἐνεργεῖν, οὕτως οὐδὲ πᾶν ὃ ἂν γένοιτο αἴτιον καὶ ἔστιν αἴτιον ἤδη, ἢ γέγονεν ἢ γενήσεται, ἀλλ' οὐδὲ πᾶν τὸ γεγονὸς εὐθὺς τῷ εἶναι ἤδη καὶ αἴτιόν ἐστιν ἐσομένου τινός. Τὸ δ' ὁμόσε 9) χωροῦντας μὲν λέγειν καὶ ταῦτα, καταφεύγειν δὲ ἐπὶ τὸ ἄδηλον εἶναι 10) τίνος αἴτια 11), (ὥσπερ ἀμέλει καὶ 12) ἐπὶ τῆς προνοίας τῆς κατ' αὐτοὺς ἀναγκάζονται ποιεῖν πολλάκις,) εὐπορίαν ἐστὶ τοῖς ἀπόροις μηχανωμένων. τούτῳ γὰρ χρωμένοις ἐνέσται περὶ πάντων τῶν ἀτοποτάτων λέγειν, ὡς καὶ ὄντων, καὶ εὐλόγους ἐχόντων τινὰς αἰτίας, ἡμῖν δὲ ἀδήλους ἔτι.

ΚΔ.

Ἆρ' οὖν τούτων οὕτως ἐχόντων ἢ ἀναιτίως 1) τὶ γενήσεται καὶ τοῦθ' ἡμῶν ὁ λόγος προξενεῖ, ἢ δύναται

rendae sunt causae, ita ut hominis causa sit homo, equi equus, cuius rei causae sunt primum ii, qui expertes fuere coniugii, deinde et liberi ante aetatem mortui? Multa quippe eorum quae fiunt, ideo quod non ad iustam magnitudinem excreverint, aut non commota, aut priusquam commoverentur exstincta sint, eo pervenire non potuerunt, ut rei alicuius causa per efficientiam intra ipsa constitutam fierent. Cuius praeterea causam esse dicent eas quae in quibusdam corporis partibus enascuntur superfluitates, cuius monstra et quae praeter naturam fiunt? Quorum nonnulla omnino ita conformata sunt, ut durare non possint. Quod si in plantis cortex pulpae causa, pulpa fructus ipsius, et irrigatur planta ut alatur, alitur vero, ut fructum edat; multa in illis reperire est quae non ad eum modum fiant. Quorum enim consequentium causas esse dicemus eos fructus, qui aut putruerunt aut exaruerunt, aut folia geminata? Inde manifestum fit omnibus verum conspicere volentibus et valentibus, sicut non omnia apta sunt ad agendum, ita nec omne quod fieri causa posset, causam certe aut esse aut fuisse aut futurum esse, nec omne quod factum sit statim ab origine sua causam esse futuri cuiusdam. Haec autem ipsa agnoscere inter disputandum, sed eo confugere quod incertum sit, cuius rei istae sint causae, (quod et circa providentiam qualem ipsi statuunt facere saepe coguntur), id vero est in rebus inextricabilibus facilem moliri exitum. Nam si ita agere liceat, nihil obstabit quominus de iis quae sunt plane absona, dicatur et esse ea, et ratione fundatas habere causas, sed nos latentes.

XXIV.

Haec ergo sic cum se habeant, aut fiet aliquid sine causa, et hoc est quod nos defendimus, aut certe

σώζεσθαι τὸ μηδὲν ἀναιτίως τῶν γινομένων γίνεσθαι, καὶ τοῦτον τὸν τρόπον ἐχόντων, ὡς ἡμεῖς λέγομεν, τῶν πραγμάτων. Ἂν γὰρ παυσάμενοι τῆς ἀλύσεως τῶν αἰτίων καὶ τοῦ τοῖς πρώτοις γενομένοις λέγειν ἐξ ἀνάγκης ἕπεσθαι τὸ αἰτίοις τισὶν ὄφειλον γίνεσθαι [3]), ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν τὸ αἴτιον περιέχουσιν, ἀπὸ τῶν γινομένων τε καὶ ὑστέρων τὴν ἀπόδοσιν τῶν αἰτίων ποιώμεθα, ἔτι τε τῶν γινομένων κυρίας ζητῶμεν [4]) τὰς αἰτίας, ὔυτε ἀναιτίως τι τῶν γινομένων γενήσεται, οὔτε διὰ τοῦτο ἐξ ἀνάγκης καθ᾽ εἱμαρμένην τοιαύτην πάντοθεν γινόμενον ἔσται. Ουκ ἐξ ἀνάγκης μὲν γὰρ ὁ Σωφρονίσκος [5]) τῷ εἶναι ἤδη καὶ πατὴρ ἔσται καὶ αἴτιός τινι τῶν μετ᾽ αὐτόν. Ει μέντοι Σωκράτης εἴη ἐξ ἀνάγκης, αὐτῷ τῆς γενέσεως Σωφρονίσκος ἐξ ἀνάγκης αἴτιος. Ὡς γὰρ θεμελίου ὄντος οὐκ ἀναγκαῖον οἰκίαν γενέσθαι, οἰκίας δ᾽ οὔσης προκαταβεβλῆσθαι τὸν θεμέλιον [5 a]) ἀνάγκη, οὕτως ἔχειν ὑποληπτέον καὶ ἐν τοῖς γινομένοις φύσει τὰ αἴτια ἐξ ἀνάγκης οὐκ αὐτοῖς πρώτοις [6]) ἐξ ἀνάγκης ἑπόμενον τὸ αἰτίοις εἶναι τινῶν, ἀλλὰ τοῖς ὑστέροις γινομένοις τὸ ἐξ ἀνάγκης ἔχειν τὶ τῶν πρὸ αὐτῶν αἴτιον. Ἔστι δέ τινα τῶν γινομένων καὶ τοιαῦτα, ὡς ἔχειν μὲν αἰτιόν τι [6 a]), οὐ μὴν οἰκεῖον [7]), οὐδὲ προηγούμενον, ἀλλ᾽, ὡς ἡμῖν ἔθος λέγειν, κατὰ συμβεβηκός. Ὁ γὰρ εὑρεθεὶς θησαυρὸς ὑπὸ τοῦ διὰ τὸ φυτεύειν σκάπτοντος, ἔχει μὲν τὸ σκάπτειν αἴτιον, οὐ μὴν οἰκεῖον, οὐδὲ γενόμενον δι᾽ αὐτόν· τὰ μὲν γὰρ κυρίως αἴτια, ἢ ἐξ ἀνάγκης μόνον, ὡς τούτοις δοκεῖ, καὶ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενον ἔχει τὸ αἴτιον [8])· τὰ δὲ κατὰ συμβεβηκὸς οὕτως αἴτια σπανίως γίνεται τὰ τοιούτων αἴτια, ὥστε τοῖς τοῦτον τὸν τρόπον λέγουσιν ἅμα μὲν ἕπεται τὸ μηδὲν ἀναιτίως γίνεσθαι λέγειν, ἅμα δὲ τὸ σώζειν τό, τε [9]) ἀπὸ τύχης καὶ αὐτομάτου γίνεσθαί τινα [10]), καὶ εἶναι καὶ

stare simul potest, ut nihil sine causa fiat, et tamen res sic agantur, sicut nos dicimus. Nam si abstineamus catenam illam causarum nectere et dicere ubi illa prima processerint, necessario sequi ea quae ex illis ut causis fieri oportet, tanquam in suapte substantia vim illam efficiendi continentibus, sed ex iis quae fiunt et posteriora sunt, causas eorum studeamus reddere, praeterea ut illos quaeramus causas, quae dominae sunt eorum, quae a se fiunt, videbimus iam nec quicquam eorum quae fiunt, sine causa fieri neque propterea ex necessitate et fatali connexu fieri quae fiunt omnia. Non enim necessario Sophroniscus eo quod est, etiam pater est, et causa alicuius post ipsum. At si necesse fuit esse Socratem, iam ex necessitate Sophroniscus causa ei est cur exsistat. Sicut enim, non quia fundamentum est, necesse est et domum esse, sed si domus sit, omnino necesse est iactum esse fundamentum, ita etiam existimandum est, in eis quae natura fiunt, causas se habere necessarias, non quod illis primis positis necessario sit consequens, ut illas aliquarum rerum sint causae, sed quod ubi posteriora evenere, necessario habeant suas causas. Sunt enim quaedam eorum quae fiunt eiusmodi ut causam quidem habeant, non tamen propriam sibi ac principalem, sed ut nos loqui solemus, per accessionem. Nam thesaurus inventus ab eo qui plantandi causa fodiebat, habet quidem illud fodere pro causa, sed non propria, nec quae ut illud fieret, destinabatur. Quae enim proprie sunt causae, aut tantum ex necessitate agunt, ut illis placet, aut certe plerumque consequentem habent aliam causam: at quae per accessionem causae sunt, ea raro talium sunt causa. Quare si ad eum loquuntur modum, simul dicere possunt et nihil sine causa fieri et tamen quaedam fieri forte fortuna

τί ἐφ᾽ ἡμῖν, καὶ τὸ ἐνδεχόμενον ἐν τοῖς πράγμασιν, ἀλλ᾽ οὐ φωνὴν μόνον.

ΚΕ.

Πῶς γὰρ οὐ φανερῶς ψεῦδος τὸ λέγειν [1]) πᾶν τὸ ἑπόμενόν τινι ἐξ ἐκείνου τὴν αἰτίαν τοῦ εἶναι ἔχειν, καὶ πᾶν τὸ προηγούμενόν τινος, αἴτιον ὑπάρχειν ἐκείνῳ. Ὁρῶμεν γὰρ ὅτι τὰ ἐφεξῆς ἀλλήλοις ὄντα τῷ χρόνῳ οὐ πάντα διὰ τὰ ἔμπροσθεν καὶ πρὸ αὐτῶν γεγονότα γίνεται· οὔτε γὰρ τὸ βαδίζειν διὰ τὸ ἀναστῆναι, οὔτε νὺξ διὰ τὴν ἡμέραν οὔτε ὁ τῶν Ἰσθμίων ἀγὼν διὰ τὸν τῶν Ὀλυμπίων, ἀλλ᾽ οὐδε διὰ τὸν χειμῶνα τὸ θέρος. Ὅθεν καὶ θαυμάσειεν ἄν τις αὐτοὺς τὴν τῶν αἰτίων ἀπόδοσιν [2]) τοῦτον ποιουμένους τὸν τρόπον, ὡς ἀεὶ τὸ πρῶτον γεγονὸς αἰτιᾶσθαι τὸ [3]) μετὰ τοῦτο καὶ ποιεῖν ἐπισύνδεσίν τινα καὶ συνέχειαν τῶν αἰτίων, καὶ ταύτην τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέρονται τὴν αἰτίαν. Ὁρῶμεν γὰρ ἐπὶ πολλῶν αὐτὸ καὶ τοῖς πρώτοις καὶ τοῖς ὑστέροις γινομένοις ὂν αἴτιον· τοῦ γοῦν ἀναστῆναι καὶ τοῦ περιπατῆσαι τὸ αὐτὸ αἴτιον, οὐ γὰρ τὸ ἀναστῆναι τοῦ περιπατῆσαι, ἀλλ᾽ ἀμφοτέρων ὁ ἀναστὰς καὶ περιπατῶν αἴτιος, καὶ ἡ τούτου προαίρεσις. Ὁρῶμεν δ᾽ ὅτι καὶ νυκτὸς καὶ ἡμέρας τάξιν τινὰ ἐχουσῶν [4]) πρὸς ἀλλήλας ἓν καὶ ταὐτὸ αἴτιον, ὁμοίως δὲ καὶ τῆς τῶν καιρῶν μεταβολῆς [5]). Οὐ γὰρ ὁ χειμὼν αἴτιος τοῦ θέρους, ἀλλ᾽ ἐκείνου τε καὶ τούτου τοῦ θείου σώματος [6]) κίνησίς τε καὶ περιφορὰ, καὶ ἡ κατὰ τὸν λοξὸν κύκλον [7]) ἔγκλισις, καθ᾽ ἣν ὁ ἥλιος κινούμενος ἁπάντων ὁμοίως τῶν προειρημένων αἴτιος [8]). Καὶ ὅτι μὴ νὺξ τῆς ἡμέρας αἰτία, ἢ ὁ χειμὼν τοῦ θέρους, μηδὲ ἐμπέπλεκται ταῦτα ἀλλήλοις [9]) ἁλύσεως δίκην, ἕως ἂν ταῦτα γίνεται, ἢ, ει μὴ οὕτως γένοιτο, διασπασθήσεται ἡ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ γινομένων τε καὶ ὄντων ἕνωσις· ἱκανὰ γὰρ τὰ θεῖα [10]) καὶ

aut casu: et esse aliquid in rebus positum in nostra potestate et eventus ambigui, re, non solum nomine.

XXV.

Quomodo enim non sit manifesto hoc falsum, omne quod alicui est consequens ex eo causam habere cur exsistat, et omne quod antegreditur rem aliam ei rei causam esse cur sit? Videmus quippe ea quae tempore sunt alia post alia, non omnia tamen fieri ob id quod prius et ante ipsa positum fuit. Neque enim ambulat quis quia surrexit, neque nox est efficiente hoc die, neque Isthmium certamen per vim Olympici, aut hiems per aestatis. Proinde miraretur quis illos si causarum seriem istum ad modum redderent, quasi semper id quod prius est causa sit posterioris, ac sic causarum connexum facerent continentiamque inter ipsas, et cur id facerent adferrent causam quod sine causa nihil fiat. Videmus enim multis in rebus tam eius quod antecessit, quam eius quod consequitur unam eandemque esse causam. Sed et surgendi et ambulandi causa est eadem. Nam non ipsum surgere causa est ambulandi, sed utriusque causa est is ipse qui surgit et ambulat, eiusque deliberata voluntas. Sic etiam noctis et diei quae certum inter se ordinem habent una eademque causa est. Pariter se res habet in anni tempestatibus. Non enim hiems causa est aestatis, sed et huius et illius causa est motio ac rotatio caelestis corporis et eius flexio per obliquum circulum. Nam Sol ad eum modum se movens omnium illarum tempestatum causa est. Non ergo nox causa diei, neque hiems aestatis, neque catenae in modum ista inter se dum fiunt, cohaerent; ut ni id fiat, discessura sit Mundi et eorum quae in Mundo sunt fiuntque adunatio. Sufficiunt enim caelestia corpora et eorum rotatio

ἡ τούτων περιφορὰ τὴν τῶν γινομένων ἐν τῷ κόσμῳ συνέχειαν φυλάσσειν. Ἀλλ᾽ οὐδὲ τὸ περιπατεῖν ἀναίτιον, ἐπεὶ μὴ ἐκ τοῦ ἀναστῆναι τὴν αἰτίαν ἔχει, ὥστ᾽ οὐχ οὕτως αἰτίων εἱρμὸς ὑπ᾽ αὐτῶν λεγόμενος [11]) εὐλόγως ἂν τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέροιτο τὴν αἰτίαν. Ὡς γὰρ αἱ κινήσεις καὶ οἱ χρόνοι ἔχουσι μέν τινα αἰτίαν, οὐ μὴν οὔτε ἡ κίνησις τὴν πρὸ αὐτῆς, οὔτε ὁ χρόνος τὸν πρὸ αὐτοῦ χρόνον, οὕτως ἔχει καὶ τὰ ἐν αὐτοῖς τε καὶ τὰ δι᾽ αὐτῶν γινόμενα πράγματα. Τῆς μὲν γὰρ συνεχείας τῶν αἰτίων ἐστί τις αἰτία, δι᾽ ἣν ὁ κόσμος εἷς τε καὶ ἀΐδιος κατὰ τὸ αὐτό τε καὶ ὡσαύτως ἀεὶ διοικούμενος. Καὶ δεῖ ταύτην ζητεῖν τε καὶ παραλαβεῖν τὴν αἰτίαν [12]) · οὐ μὴν χρὴ [13]) τοιαύτην ὑπολαμβάνειν, ἕως [14]) ἐκ τοῦ πρεσβυτέρου γίνεσθαι τὸ νεώτερον, ὡς ὁρῶμεν γινόμενον ἐπὶ τῆς τῶν ζώων γενέσεως· εὔλογον δὲ καὶ ἀρχήν τινα ἐν τοῖς αἰτίοις εἶναι λέγειν, οὐκέτι ἄλλην πρὸ αὐτῆς ἀρχὴν καὶ αἰτίαν ἔχουσαν. Οὐ γὰρ εἰ πάντα τὰ γινόμενα αἴτια ἔχει, ἤδη καὶ πάντων εἶναί τινας αἰτίας ἀνάγκη· οὐ γὰρ πάντα τὰ ὄντα γίνεται. Πῶς γὰρ οὐκ ἄτοπον τὸ λέγειν ἐπ᾽ ἄπειρον εἶναι τὰ αἴτια, καὶ τὸν εἱρμὸν αὐτῶν καὶ τὴν ἐπισύνδεσιν, ὡς μήτε πρῶτόν τι εἶναι [14 a]) μήτε ἔσχατον; τὸ γὰρ μηδὲν εἶναι πρῶτον [15]) αἴτιον λέγειν, ἀναιρεῖν ἐστι τὸ αἴτιον, ἀναιρουμένης γὰρ ἀρχῆς ἀναιρεῖσθαι καὶ τὸ μετ᾽ αὐτὴν ἀνάγκη. Ἀναιροῖτο δὲ καὶ ἐπιστήμη κατὰ τοῦτον τὸν λόγον [16]), εἴγε ἐπιστήμη μέν ἐστι κυρίως ἡ τῶν πρώτων αἰτίων γνῶσις. Οὐκ ἔστι δὲ κατ᾽ αὐτοὺς ἐν τοῖς αἰτίοις τὸ πρῶτον, οὐ πᾶσά τε τάξεως παράβασις ἀναιρετικὴ τῶν ἐν οἷς γίνεται· γίνεσθαι γὰρ ἔνια καὶ παρὰ τὴν τοῦ βασιλέως τάξιν οὐκ ἀδύνατον, ἃ οὐ πάντως τῆς βασιλείας ἤδη γίνεται φθαρτικὰ [17]), οὐδὲ εἴ τι τούτων ἐν τῷ κόσμῳ γίνεται, πάντως ἤδη τοῦτο λύει τὴν εὐδαιμονίαν τοῦ κόσμου,

ad conservandam rerum quae in Mundo sunt, continuitatem. Neque ideo ambulatio causa caret, quia ex surgendo causam non habet: neque recte ad adstruendam causarum inter se aptarum seriem rationem istam adferunt, quod sine causa nihil fiat. Sicut enim motiones et tempora habent suas causas, non quidem motio antegressam motionem, neque tempus id quod praecessit tempus, pariter se habent et in operationibus, quae in illis et per illa fiunt. Istius vero continentiae eorum quae fiunt est causa aliqua, per quam Mundus unus et sempiternus per idem eodemque modo perpetim regitur: quae sane causa inquirenda, non praetermittenda est, non tamen talis existimanda est, ut semper ex eo quod est antiquius, fiat id quod est recentius, quomodo in animantium ortu contingere videmus. Rationi enim congruit, ut causarum aliquod sit principium quod aliam ante se causam principiumque non habeat. Non enim si omnia quae fiunt causam habent, ideo et omnium (quae sunt) aliquas necesse est esse causas. Non enim quae sunt ea fiunt omnia. Quomodo enim non sit absonum, dicere sine fine causarum procedere numerum, talemque earum esse seriem atque nexum, ut nulla sit aut prima aut ultima? Nam dicere nullam esse primam causam, id omnem causam negare est. Quippe si principium tollas, necesse est tolli etiam quod post ipsum est, atque ea ratione tolletur etiam scientia. Nam scientia proprie est primarum causarum notitia. At secundum illos in causis nihil est primum. Neque vero omnis ordinis transgressio ea perimit in quibus fit. Fieri enim potest ut contra regis ordinationem aliqua fiant, quae tamen non evadunt regnis exitialia. Nec si quid tale in Mundo fiat,

καθάπερ οὐδὲ τὴν τοῦ ὀίκου καὶ τὴν τοῦ δεσπότου [18]) *ἡ τυχοῦσα τῶν οἰκετῶν ῥᾳδιουργία.*

ΚΣΤ.

Ἃ δὲ ἀποροῦσι πρὸς τὸ εἶναι τοιοῦτον ἐφ᾽ ἡμῖν, ὁποῖον ἡ κοινὴ πρόληψις τῶν ἀνθρώπων πεπίστευκεν, ἀπορεῖν μὲν οὐκ ἄλογον· τὸ δὲ τοῖς ἀπορουμένοις ἐποχουμένους ὡς ὁμολογουμένοις, ἀναιρεῖν μὲν τὰ οὕτως ἐναργῆ [1]), *σκιαγραφίαν δέ τινα καὶ παιδιὰν ἀποφαίνειν τὸν ἀνθρώπων βίον καὶ συναγωνίζεσθαι τοῖς ἀπορουμένοις καθ᾽ αὐτῶν, πῶς οὐ* [2]) *παντάπασιν ἄλογον* [3]); *Οὐ γὰρ τῷ μὴ* [4]) *δυναμένῳ λύειν τινὰ τῶν Ζήνωνος λόγων τῶν κατὰ τῆς κινήσεως, ἤδη κίνησιν ἀναιρετέον, ἱκανωτέρα γὰρ ἡ τοῦ πράγματος ἐνάργεια* [5]) *πρὸς συγκατάθεσιν πάσης τῆς διὰ λόγων ἀναιρούσης αὐτὸ πιθανότητος.*

Οὐ χεῖρον δὲ [6]) *ἴσως καὶ ἡμᾶς τῶν ἀπορουμένων ὑπ᾽ αὐτῶν, οἷς μάλιστα θαῤῥοῦσι, ταῦτα προχειρισαμένους ἐξετάσαι πῶς ἔχει· ἴσως γὰρ οὐδὲν ἄγαν φανεῖται εἰς αὐτά. Ἔστι δή τι τῶν ἀπορουμένων ὑπ᾽ αὐτῶν καὶ τοιοῦτον. Εἰ, φασι, ταῦτά ἐστιν ἐφ᾽ ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενα δυνάμεθα. Καὶ ἐπὶ τοῖς τοιούτοις οἵτε ἔπαινοι, καὶ οἱ ψόγοι, προτροπαί τε καὶ ἀποτροπαὶ, κολάσεις τε* [7]) *καὶ τιμαὶ, οὐκ ἔσται τὸ φρονίμοις εἶναι καὶ τὰς ἀρετὰς ἔχειν ἐπὶ τοῖς ἔχουσιν, ὅτι μηδέ εἰσι* [8]) *τῶν ἀντικειμένων κακιῶν* [9]) *ταῖς ἀρεταῖς δεκτικοί* [10]). *Ὁμοίως δὲ οὐδὲ αἱ κακίαι ἐπὶ τοῖς κακοῖς· οὐδὲ γὰρ ἐπὶ μὲν τούτοις* [11]) *τὸ μηκέτ᾽ εἶναι κακοῖς. Ἀλλὰ μὴν ἄτοπον τὸ μὴ λέγειν τὰς ἀρετὰς καὶ τὰς κακίας ἐφ᾽ ἡμῖν, μηδὲ τοὺς ἐπαίνους καὶ τοὺς ψόγους ἐπὶ τούτων γίνεσθαι. Οὐκ ἄρα τὸ ἐφ᾽ ἡμῖν τοιοῦτον* [12]).

ob id interitura sit Mundi beatitas, ut nec domus et patris familias ob servorum negligentiam.

XXVI.

Quod vero dubitant an talis sit in nobis libertas, qualem fert hominum communis et anticipata opinio, ea dubitatio non sine omni est ratione. Sed quod istis dubitatis tanquam iam plane in confesso positis eo provehuntur, ut tollant ea qua sunt manifestissima, umbram vero et ludum faciant res omnes humanas, et contra haec omnia pugnent pro illis dubiis, quomodo non a ratione sit remotum? Non enim, si quis solvere non potest Zenonis argumenta, quibus motionem oppugnat, ideo neganda est ulla esse motio. Validior enim ad assensum impetrandum rerum evidentia, quam omnis, quae contra affertur, verborum illecebra.

At vero nec abs re erit dubitationum eas, quibus illi maxime fidunt, in manus sumere, et quid in se habeant expendere. Fortasse enim reperiemus nihil in iis, quae obiectant, esse magni. Si, aiunt: id in nostra est potestate, cuius et contraria agere possumus, et circa res tales versantur laudationes et vituperationes, hortamenta et dehortationes, poenae et praemia, non erit in potestate hominum proborum esse probos et virtutes in se habere: quia scilicet recipere in se non possunt vitia, quae istis virtutibus sunt contraria. Sic neque vitia in vitiosorum hominum erunt potestate, neque enim in eorum potestate est, ut mali non sint. Atqui absonum sit dicere non esse in nostra potestate virtutes et vitia. Non igitur tale est quale creditur id quod in potestate nostra esse dicitur.

ΚΖ.

Οἱ συγχωρήσαντες ἀναποβλήτους τὰς ἀρετάς τε καὶ κακίας ἔιναι ἴσως προχειρότερον λαμβάνοντες λέγοιεν ἂν [1]) κατὰ τοῦτο τὰς ἕξεις ἐπὶ τοῖς ἔχουσιν ἔιναι, καθόσον πρὸ τοῦ λαβεῖν αὐτὰς, ἐπ᾽ αὐτοῖς ἦν [2]) καὶ μὴ λαβεῖν. Ὁί τε γὰρ τὰς ἀρετὰς ἔχοντες, ἐξὸν καὶ τὸ τῶν βελτιόνων ἀμελεῖν [3]), ἑλόμενοι τὰ βελτίω, αὐτοῖς ἀίτιοι τῆς τῶν ἀρετῶν ἐγένοντο κτήσεως, ὁί τε τὰς κακίας ἔχοντες, παραπλησίως. Ὁ δ᾽ αὐτὸς καὶ ἐπὶ τῶν τεχνῶν λόγος. Καὶ γὰρ τῶν τεχνιτῶν ἕκαστος πρὸ μὲν τοῦ τέχνην ἔχειν, ἔιχε καὶ τοῦ μὴ γενέσθαι τὴν ἐξουσίαν· γενόμενος δὲ οὐκέτ᾽ ἔσται κύριος τοῦ μὴ γεγονέναι τε καὶ ἔιναι τοιοῦτος. Ἀι γὰρ γενέσεις τῶν τοιούτων ἐφ᾽ ἡμῖν, καὶ διὰ τοῦτο οὐχ ὁμοίως τὸ ἀληθὲς ἐπί τε τῶν μελλόντων, καὶ ἐπὶ τῶν ὄντων [4]) τε καὶ γεγονότων, ὅτι τὸ μὲν ὄν τε [5]) καὶ γεγονὸς οὐχ ὁῖόν τε ἦν μὴ ἔιναι ἢ μὴ γεγονέναι, τὸ δὲ μέλλον γίνεσθαι ἐνδέχεται καὶ μὴ γίνεσθαι· διὸ πρὸ μὲν τοῦ τὴν ἀρετὴν ἔχειν τόνδέ τινα ἀληθὲς ἦν τὸ ἐνδέχεσθαι καὶ μὴ γενέσθαι τοιοῦτον. Ὃ δὲ τοιοῦτον γίνεται, τοῦτο καὶ γενόμενον ἀληθὲς ὁύτω λέγειν γεγονέναι. Ἐι μὲν ὀῦν ἐκ γενετῆς ὁ φρόνιμος τοιοῦτος, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις [6]) ὑπὸ φύσεως αὐτῷ δεχομένοις ἔιχε παρ᾽ ἐκείνης λαβὼν, οὐδ᾽ ὅλως ἂν ἦν ἐπ᾽ αὐτῷ τὸ ἔιναι τοιούτῳ, ὥσπερ οὐδὲ τὸ ἔιναι δίποδι, ἢ λογικῷ [7]), οὐδ᾽ ἂν ἐπῃνεῖτο ἔτι ἐπὶ τῷ τοιοῦτος ἔιναι, ἀλλ᾽ ἐθαυμάζετο, ὡς ἔχων παρὰ τῆς θείας φύσεως δῶρον τηλικοῦτον. Ὡς γὰρ τῶν ὑγιαινόντων [8]), ὅσοι μὲν ἀσθενεῖς ὄντες τὴν φύσιν, διὰ τῆς οἰκείας ἐπιμελείας ἐισὶ τοιοῦτοι, τούτους μὲν ἐπαινοῦμεν, ὡς ἑαυτῶν πρόνοιαν τὴν προςήκουσαν ποιουμένους, δι᾽ ἣν πρόνοιαν ὀύκ ἐισιν ἐν τῷ νοσεῖν, τοὺς δὲ ἐκ φύσεως ὑγιεινοὺς, καὶ τοὺς μὴ νοσοῦντας [9]) ἄνευ πραγματείας καὶ φροντίδος, οὐκέτι μὲν ἐπαινοῦμεν, μακαρίζομεν δὲ, ὡς χωρὶς καμάτων

XXVII.

Ad haec illi qui negant virtutes et vitia posse ámitti, forte id sumentes quod facile est dicent, ideo firmas animi constitutiones dici in nostra esse potestate, quia in ipsorum potestate fuit eas adipisci vel non adipisci. Nam qui virtutes possident cum meliora quae spernere potuerant, praetulerint, ipsi sibi causa fuerunt adipiscendarum virtutum, parique modo ii qui vitia habent. Nec dispar in artificibus ratio. Nam artificum quisque priusquam artem est consecutus, libertatem habuit etiam ne talis evaderet. At postquam talis factus est, non amplius in potestate habet ne factus sit talis. Nam ortus rerum talium in nostra libertate sunt positi. Ac propterea non similis est veritas de rebus futuris et de rebus quae fuere vel sunt. Nam id quod aut est, aut fuit, ut non sit aut non fuerit, fieri nequit. At id quod futurum est potest et non fieri. Quare antequam hic homo virtutem possideret, verum erat fieri posse ut non talis evaderet. Quod autem fit tale, de eo etiam cum peractum est, verum semper est tale fuisse. Si ergo qui probus est, ab ortu talis esset, et non haec super quae natura ipsi dederat, haberet amplius, sed a natura ut alia ita ut hoc accepisset, non fuisset in potestate eius esse talem, non magis quam esse bipedem aut rationis participem. Neque vero laudari ob id posset quod talis esset, sed potius esset admirationi, ut qui a divina natura domum tale esset consecutus. Sicut enim benevalentium eos laudamus, qui cum a natura essent imbecilles, suapte cura ut recte valerent sunt consecuti, eique debeant quod non aegrotant. At eos qui natura sunt sani et malorum expertes sine sua cura atque opera, non laudamus quidem, sed beatos praedicamus, ut qui sine labore id sint adepti, quod etiam cum labore alii sibi partum velint. Idem certe

τοῦτο ἔχοντας, ὃ καὶ τοῖς ἄλλοις ἀγαπητὸν, ἐι μετὰ καμάτου παρείη, τὸν αὐτὸν τρόπον, ἐι [9 a]) καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ἀρετῶν ἐποιοῦμεν ἂν, ἐι ἦσαν ἐκ φύσεώς τισι παροῦσαι, ὅπερ ἀμέλει ποιοῦμεν ἐπὶ τῶν θεῶν. Ἐπεὶ δὲ ἀδύνατον ἡμῖν τοῦτο, καὶ οὐδὲν ἀδύνατον δεῖ παρὰ τῆς φύσεως ἀπαιτεῖν· (αὕτη γὰρ δυνατῷ τε καὶ ἀδυνάτῳ μέτρον· τελειότης μὲν γὰρ ἡ ἀρετὴ, καὶ ἡ ἀκρότης τῆς οἰκείας φύσεως ἑκάστου) ἀδύνατον δὲ ἀτελές τι ὂν ἐν τελειότητι ἐῖναι, ἀτελές δὲ τὸ γενόμενον ἐυθὺ τῷ γενέσθαι [10]), οὐδὲ τὴν ἀρετὴν οἷόν τε τῷ ἀνθρώπῳ συμφῦναι [11]). Οὐ μέντοι [12]) ἀσύμβολος ἡ φύσις αὐτῷ πρὸς τὴν κτῆσιν αὐτῆς, ἀλλ' ἔχει παρ' αὐτῆς δύναμιν τε καὶ ἐπιτηδειότητα δεκτικὴν αὐτῆς, ἣν οὐδὲν τῶν ἄλλων ζώων ἔχει, καὶ διὰ τήνδε τὴν δύναμιν ὁ ἄνθρωπος τῶν ἄλλων ζώων φύσει διαφέρει, καί τοι τῶν ἄλλων ζώων ἀπολειπόμενος ἐν τοῖς σωματικοῖς πλεονεκτήμασιν. Ἐι μὲν ὀῦν οὕτως ἐίχομεν [13]) παρ' αὐτῆς τὴν δύναμιν τὴν τῶν ἀρετῶν δεκτικὴν, ὡς προϊόντες καὶ τελειούμενοι καὶ ταύτην λαμβάνειν, ὡς τὸ περιπατεῖν, ὡς τὸ ὀδόντας, ὡς τὸ γένεια φύειν, ὡς ἄλλο τι τῶν ἐπιγινομένων ἡμῖν κατὰ φύσιν, οὐδ' οὕτως ἂν ἐφ' ἡμῖν ἦσαν αἱ ἀρεταὶ, ὥσπερ οὐδὲ τῶν προειρημένων τὶ· ἐπεὶ δὲ μὴ [14]) τοῦτον τὸν τρόπον αὐτὰς κτώμεθα, ἐι γὰρ ἦν [15]) ὥσπερ τὰ ἄλλα, οὕτω δὲ καὶ φρόνησίς τε καὶ ἀρετὴ τοῖς ἀνθρώποις συγγενῆ, πάντες ἂν, ἢ ὅιγε πλεῖστοι, ὥσπερ τῶν ἄλλων κατὰ φύσιν, αὐτῶν τυγχάνοιεν [16]), οὐδὲ τὴν δύναμιν τὴν [17]) τῶν ἀρετῶν δεκτικὴν μόνην, ἀλλὰ καὶ τὰς ἀρετὰς αὐτὰς παρ' ἐκείνης ἂν ἐίχομεν [18]), καὶ οὐδὲν οὐδ' οὕτως ἂν ἔδει ἐπαίνων ἢ ψόγων ἢ τινὸς τῶν τοιούτων, ἐπὶ δὲ ταῖς ἀρεταῖς τε καὶ κακίαις θειοτέραν πρόφασίν τε καὶ οὐσίαν τῆς παρουσίας αὐτῶν ἐίχομεν [19]). Ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, οὐ γὰρ τοὺς πάντας, οὐδὲ τοὺς πλείστους ὁρῶμεν τὰς ἀρετὰς ἔχοντας, ὃ τῶν κατὰ φύσιν γινομένων ση-

similiter aut etiam hoc amplius faceremus circa virtutes, si aliquibus a natura adessent: nimirum sicut facimus erga Deos. Cum vero id fieri nequeat, nec id quod fieri nequit a natura requirendum sit (ipsa enim eius quod fieri potest aut non potest, mensura est, virtus quidem consummatio est et supremum quod cuiusque natura pertingit) fieri autem nequit ut quod inchoatum est tantum, consummationem suam habeat: inchoatum autem quiddam est quidque cum primum nascitur, sequitur ut virtus cum homine nasci nequeat. At non tamen natura nihil ad huius boni adeptionem confert. Sed habet ab ipsa homo aptitudinem et facultatem, per quam accipere virtutem potest, quae aptitudo nulli alii tributa est animanti. Et hoc est in quo homo a caeteris animantibus naturaliter distat, cum in multis commodis ad corpus pertinentibus ab animantibus aliis vincatur. Quod si hanc aptitudinem virtutum capacem sic accepissemus a natura, ut processu aetatis consummatiores facti, ita eam acciperemus sicut vim ambulandi, sicut dentes, sicut barbam accipimus, aut alia quae nobis per naturam superveniunt, ne sic quidem in nostra potestate essent virtutes, non magis certe quam illa quae iam designavimus. Nunc vero non isto modo virtutes adipiscimur. Alioquin si prudentia et omnis virtus alia homini cognata esset, eas aut omnes homines aut plerique consequerentur, ut alia naturae bona; non solam aptitudinem, sed ipsas etiam virtutes natura haberemus adeoque nullus esset aut laudationibus aut vituperationibus locus, cum et in virtutibus et in vitiis cur in homine essent causa et origo ex divina quadam esset natura. At vero id non est, neque enim aut omnes aut plurimos videmus ad virtutem pervenire, quod signum est eorum quae ex natura fiunt, sed multum est si unus aliquis id ad-

μεῖόν ἐστιν, ἀλλ' ἀγαπητὸν ἕνα που λαβεῖν [20]) τοιοῦτον, ὃς δι' ἀσκήσεώς τε καὶ διδασκαλίας δείκνυσι τὴν τῶν ἀνθρώπων πρὸς τὰ ἄλλα ζῶα φυσικὴν πλεονεξίαν, δι' αὑτοῦ προςτιθεὶς τὸ ἀναγκαῖον ἐνδέον ἡμῶν τῇ φύσει, διὰ τοῦτο ἐφ' ἡμῖν τί [20 a]) ἐστιν ἡ τῶν ἀρετῶν κτῆσις, καὶ οὐκ ἄχρηστοι, οὔτε μάτην οὔτε οἱ ἔπαινοι, οὔτε οἱ ψόγοι, οὔτε αἱ πρὸς βέλτιον [21]) προτροπαὶ, οὐθ' ἡ διὰ τῶν βελτιόνων ἐθῶν κατὰ τοὺς νόμους ἀγωγή. Τῶν μὲν γὰρ φύσει τισὶν ὑπαρχόντων οὐδὲν οἷόντε ὑπό τινος ἔθους ἀλλοῖον γενέσθαι. Οὐχ οὕτω πολλάκις τὸ βάρος ἔχον ἀναῤῥιφθήσεται, ὡς ἐθισθῆναι κατὰ τὴν αὑτοῦ φύσιν ἄνω φέρεσθαι· τὰ δὲ ἤθη τῶν ἀνθρώπων τοιὰ καὶ τοιὰ διὰ τῶν διαφερόντων ἐθῶν γίνεται, καὶ ἐπὶ μὲν τῶν φύσει πρώτας τὰς ἕξεις [22]) κτησάμενοι οὕτως ἐνεργοῦμεν κατ' αὐτὰς, οὐ γὰρ ἰδόντες πολλάκις τὴν ὁρατικὴν ἕξιν κτώμεθα, ἀλλ' ἔχοντες αὐτὴν οὕτως ὁρῶμεν· ἐπὶ δὲ τῶν οὐ φύσει ἐκ τῶν ἐνεργειῶν τὰς ἕξεις κτώμεθα. Οὐ γὰρ ἄλλως τέκτων τὶς ἂν γένοιτο μὴ πολλάκις ἐνεργήσας τὰς τοῦ τέκτονος ἐνεργείας, κατὰ τὰς ὑποθήκας τοῦ διδάσκοντος· ὥςτ' ἐπεὶ καὶ τὰς ἀρετὰς οὕτω κτώμεθα (ἐνεργοῦντες γὰρ καὶ τὰ σωφρονικὰ γινόμεθα σώφρονες) οὐκ ἂν ἡμῖν ὑπάρχοιεν φύσει.

ΚΗ.

Οἱ δὲ φάσκοντες ἐξ ἀνάγκης ἡμᾶς εἶναί τε καὶ γινεσθαι τοιούτους, καὶ μὴ καταλιπόντες ἡμῖν τὴν ἐξουσίαν τοῦ ταῦτα πράττειν τε καὶ μὴ, δι' ὧν ἂν τοιοῦτοι γενοίμεθα, καὶ διὰ τοῦτο μήτε τοῖς κακοῖς γενομένοις ἐξεῖναι μὴ ταῦτα πράττειν, ἃ πράττοντες γίνονται τοιοῦτοι, μήτε τοῖς ἀγαθοῖς, πῶς οὐχ ὁμολογήσουσι κάκιστον γεγονέναι τῶν ζώων ἁπάντων ὑπὸ τῆς φύσεως τὸν ἄνθρωπον, δι' ὃν φασι πάντα τἆλλα γενέσθαι ὡς συντελέσαντα [1]) πρὸς τὴν τούτου σωτηρίαν; Ει γὰρ ἡ μὲν ἀρετή τε καὶ ἡ κακία μόναι κατ'

ipiscatur, qui ope institutionis et exercitationis re ipsa ostendit id, in quo homo naturae dono caeteris animantibus praestat, a se addens id quod naturae deest, quodque ad eam perficiendam est necessarium. Et ideo est in nostra potestate virtutis adeptio, neque inutiles sunt frustraque repertae laudes et vituperationes, et in melius hortamenta, neque institutio ad recta assuefaciens praescripta legibus. Eorum quippe quae natura nobis insunt, nihil est quod possit assuetudine mutari. Quantumvis saepe rem ponderosam sursum mittas, non assuefacias eam contra naturae suae proprietatem sursum ferri: at mores hominum huius et istiusmodi fiunt pro diversa adsuetudine. Et in rebus quidem naturalibus primum habemus agendi facilitatem, ex qua deinde agimus. Neque enim saepe videndo videndi facilitatem consequimur, sed quia eam habemus, ideo videmus. Contra vero in iis quae non a natura fiunt, per actiones consequimur agendi facilitatem. Neque enim aliter faber quis fiat, nisi saepe ediderit actiones fabriles secundum magistri praecepta. Quare cum eodem modo consequamur virtutes (nam multum agendo ea quae temperanti conveniunt, temperantes evadimus) non sunt eae in nobis per naturam.

XXVIII.

Qui vero dicunt necessario nos tales tum esse tum fieri, neque nobis libertatem relinquunt agendi et non agendi ea per quae tales evadimus, ac propterea nec iis qui mali sunt facti liberum concedunt fuisse non ea agere per quae tales sunt facti, neque itidem iis qui boni sunt, nonne fateri debent pessimum omnium animalium a natura effictum esse hominem, cuius tamen causa dicunt extitisse res caeteras ut eius saluti opitularentur? Si enim ex ipsorum sententia sola virtus solumque vitium, illa quidem bonum est, hoc

αὐτοὺς ἡ μὲν ἀγαθὸν, ἡ δὲ κακὸν, καὶ οὐδὲν τῶν ἄλλων ζώων οὐδέτερου τούτων ἐστὶν ἐπιδεκτικὸν, τῶν δὲ ἀνθρώπων οἱ πλεῖστοι κακοὶ, μᾶλλον δὲ ἀγαθὸς μὲν εἷς ἢ δεύτερος ὑπ᾽ αὐτῶν γεγονέναι μυθεύεται, ὥσπέρ τι παράδοξον ζῶον καὶ παρὰ φύσιν, σπανιώτερον τοῦ Φοίνικος [2]) τοῦ παρ᾽ Αἰθιόψιν, οἱ δὲ πάντες κακοὶ καὶ ἐπίσης ἀλλήλοις τοιοῦτοι, ὡς μηδὲν διαφέρειν ἄλλον ἄλλου, μαίνεσθαι δὲ ὁμοίως πάντας, ὅσοι μὴ σοφοὶ, πῶς οὐκ ἂν ἀθλιώτατον ζῶον πάντων ὁ ἄνθρωπος εἴη, ἔχων τήν τε κακίαν καὶ τὸ μαίνεσθαι σύμφυτα αὐτῷ, καὶ συγκεκληρωμένα; Ἀλλὰ τὰ μὲν [3]) τὰς παραδοξολογίας [4]) αὐτῶν τὰς ἐν ταῖς δόγμασιν ἐξετάζειν, δι᾽ ὧν πρὸς τἀληθῆ διαφωνοῦσι πλεῖστον [5]), παραιτητέον τοῦ νῦν· ἐπανιτέον δὲ ὅθεν ἐξετραπόμεθα.

ΚΘ.

Ἐδείξαμεν δὲ ὅτι οὕτως ἐπ᾽ αὐτῷ τῷ φρονίμῳ τὸ εἶναι τοιούτῳ, ὅτι τῆς τοιαύτης ἕξεως [1]) καὶ τῆς κτήσεως αὐτῆς αἴτιος, τῷ καὶ τοῦ [1a]) μὴ γενέσθαι τοιοῦτος ἔχειν πρότερον τὴν ἐξουσίαν· τὴν μὲν οὖν ἕξιν μηκέτ᾽ ἔχειν ἐπ᾽ αὐτῷ [2]), ὥσπερ οὐδὲ τῷ αὐτὸν ὑπὸ ὕψους ἀφέντι τὸ στῆναι, καί τοι τοῦ ῥίψαι τε καὶ μὴ τὴν ἐξουσίαν ἔχοντι· ἐπ᾽ αὐτῶν δὲ τῶν ἐνεργειῶν, ὧν τὴν ἕξιν ἔχων ἐνεργεῖ, καὶ μὴ ποιῆσαί τινα. Καὶ γὰρ ἐι ὅτι μάλιστα εὔλογον τὸ τὸν φρόνιμον κατὰ τὸν λόγον καὶ τὴν φρόνησιν ἐνεργείας ἐνεργεῖν, πρῶτον μὲν οὐχ ὡρισμένως, αἱ δέ τινες τοιαῦται ἢ μέχρι τοῦδε ἐνεργούμεναι, ἀλλ᾽ ἔστιν ἐν πλάτει [3]) τινὶ πάντα τὰ γινόμενα κατὰ τοῦτον τὸν τρόπον [4]), καὶ τὸ παραμικρὸν [5]) ἐν τούτοις οὐκ ἀναιρεῖ τὸ προκείμενον· ἔπειτα δὲ οὐ κατηναγκασμένως ὁ φρόνιμος ὧν αἱρεῖται τὶ πράττει [6]), ἀλλ᾽ ὡς καὶ τοῦ μὴ πρᾶξαί τι τούτων αὐτὸς ὢν κύριος. Εὔλογον γὰρ ἂν δόξαί ποτε τῷ φρονίμῳ καὶ ὑπὲρ τοῦ δεῖξαι τὸ τῶν ἐνεργειῶν ἐλεύ-

vero malum, neque ullum aliud est animal istorum capax, plerique autem homines mali, imo vix unus et alter bonus fuisse ab illis docetur tanquam animal admirabile ac praeter naturam, et eo qui apud Æthiopes esse memoratur, Phoenice rarius, rursum vero mali omnes inter se pares, ita ut nihil alius alio distet; insaniunt autem omnes qui non sunt sapientes, quomodo non misserrimum omnium animantium sit homo habens a natura et vitium et insaniam sibi pro sorte attributa. Sed quae illi paradoxa in dogmatis suis dicunt, quatenus a vero dissideant, expendere, in praesens maxima ex parte praetermittendum est; revertendum vero in viam unde digressi sumus.

XXIX.

Ostendimus autem ideo in potestate esse hominis probi quod talis sit, quia eiusmodi assuetudinis per quam probitas acquiritur, ipse sibi causa est: quippe qui et ne talis fieret libertatem antea habuit. Iam vero non amplius habere illam agendi facilitatem, sive firmam constitutionem non est in ipsius potestate, sicut nec stare in eius sit potestate, qui se de alto praecipitem iecit, cum tamen libertatem habuerit se praecipitandi vel non. At vero ad actiones quod attinet, quas ex illa facilitate agit, earum quasdam potest et non edere. Quanquam enim maxime credibile est virum probum editurum actiones rationi et prudentia convenientes et non abscisse necesse est ut actiones sint tales, quales sunt, et ut eo usque procedant. Est enim latitudo quaedam in eius generis actionibus, et modica declinatio id de quo hic agimus non evertit. Deinde non necessariò vir probus id deligit agendum quod agit; sed ut dominus aliquid eorum etiam non agendi. Ra-

θερον, καὶ μὴ ποιῆσαί ποτε τὸ γινόμενον [7]) *ἂν εὐλόγως ὑπ᾽ αὐτοῦ, ἐι προείποι τὶς αὐτῷ μάντις ἐξ ἀνάγκης αὐτὸν τοῦτο πράξειν. Τοῦτό τοι καὶ οἱ μάντεις ἐῖναι λέγουσί τε ὑφορώμενοι* [7 a]), *φεύγοντες τοὺς παραπόδας ἐλέγχους, οὐδὲν τοιοῦτο λέγουσι τοῖς ἐλέγξαι δυναμένοις, ἀλλ᾽ ὥσπερ τὸ τοὺς χρόνους ὁρίζειν τῶν προλεγομένων ὑπ᾽ αὐτῶν, ὡς ἐσομένων, ὡς ἐυέλεγκτον φυλάσσονται, ὅυτω φεύγουσι καὶ τὸ προλέγειν τι καὶ μαντεύεσθαι* [8]) *τοῖς δυναμένοις παραχρῆμα τὸ ἀντικείμενον ποιῆσαι τοῦ μαντεύματος.*

Λ.

Τὸ δὲ λέγειν ἐύλογον ἐῖναι τοὺς θεοὺς τὰ ἐσόμενα προειδέναι (ἄτοπον γὰρ τὸ λέγειν ἐκείνους ἀγνοεῖν τι τῶν ἐσομένων) καὶ τοῦτο λαμβάνοντας κατασκευάζειν πειρᾶσθαι δι᾽ αὐτοῦ τὸ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι, καὶ καθ᾽ ἑιμαρμένην, ὀύτε ἀληθὲς, ὀύτε ἐύλογον. Τῆς μὲν γὰρ φύσεως τῆς τῶν πραγμάτων τοῦτο χωρούσης [1]), *οὐδένας* [2]) *ἐυλογώτερον ἐιδέναι μᾶλλον τῶν θεῶν τὰ μέλλοντα, ἀδυνάτου δ᾽ ὀύσης* [3]) *τὴν τοιαύτην πρόῤῥησιν καὶ πρόγνωσιν δέχεσθαι, οὐδὲ τοὺς θεοὺς ἐύλογον ἔτι γίνεται τὸ ἐιδέναι τί τῶν ἀδυνάτων* [3 a]). *Τὰ γὰρ ἀδύνατα τῇ αὑτῶν φύσει* [4]) *καὶ παρὰ τοῖς θεοῖς τὴν αὐτὴν φυλάττει φύσιν. Ἀδύνατον γὰρ καὶ τοῖς θεοῖς ἢ τὸ τὴν διάμετρον ποιῆσαι τῇ πλευρᾷ σύμμετρον, ἢ τὰ δὶς δύο πέντε ἐῖναι, ἢ τῶν γεγονότων τι μὴ γεγονέναι* [5]). *Οὐδὲ γὰρ τὴν ἀρχὴν βούλονταί τι τῶν ἀδυνάτων* [6]) *(ὅυτω γὰρ ἦν ἐν τοῖς λεγομένοις δυςχωρία,) ὅῖς ὁμοίως ἀδύνατον καὶ τὸ ἐν οἰκείᾳ φύσει ἔχον τὸ δύνασθαι γενέσθαί τε καὶ μὴ, ὡς ἐσόμενον πάντως* [7]), *ἢ ὡς μὴ ἐσόμενον, ὅυτω προειδέναι. Ἐι γὰρ ἡ περὶ αὐτῶν πρὸ αὐτῶν πρόγνωσις ἀναιρεῖ τὸ ἐν αὐτοῖς ἐνδεχόμενον, δῆλον ὡς ἐι σώζοιτο τοῦτο, ἀδύνατος ἂν ἡ περὶ αὐτῶν πρόγνωσις ἐίη. Ὅτι γὰρ*

tionis enim esse videbitur interdum viro probo vel in hoc, ut ostendat libertatem suam circa actiones id non agere, quod cum ratione facturus fuerat, puta si vates aliquis praedixisset illum necessario hoc facturum. Et hoc ipsum quia prospiciunt vates metuunt ne illico refellantur, non solent talia dicere apud eos, qui ipsos statim possunt falsi revincere. Ac sicut tempora definire eorum quae futura dicunt, ut deprehensioni opportunum defugiunt, sic etiam cavent in vaticinando aliquid dicere illis qui statim contrarium eius quod fert vaticinatio, efficere possunt.

XXX.

Quod vero amplius dicunt par esse credi Deos futura praenosse, absonum enim dictu eos aliquid imminentium ignorare, deinde hoc sumto ex eo parant adstruere omnia necessario et fataliter fieri, id nec verum est, nec probabile. Nam si natura rerum id capiat, neminem magis credibile est ventura nosse quam Deos: at cum natura talem praedictionem praesensionemque non capiat, ne Dii quidem credi debent nosse quae nosci nequeunt. Quae enim omnino per naturam fieri nequeunt, ea etiam apud Deos eam servant naturam. Nam etiam apud Deos fieri nequit ut dimetiens linea sit par lateri, aut ut bis duo sint quinque, aut ut quod factum est infectum sit. Ac ne volunt quidem quicquam eorum quae fieri nequeunt. (Esset enim in iis quae diximus repugnantia quaedam) et talis est etiam in eo, quod suapte natura potest fieri aut non fieri, tanquam omnino aut futurum aut non futurum praenoscatur. Nam si praenotio posita tollit eventus ambiguum, manifestum est ut hoc maneat fieri nequire ut certa de eo sit praenotio. Sic autem se rem habere ex ipsorum sententia apertnm est, inde quod hoc sumto Deos praenosse ventura inde inferunt

καὶ ἐι κατὰ τούτους τοῦτο οὕτως ἔχει, δῆλον ἐκ τοῦ λαβόντας ἀυτοὺς, ὅτι οἱ θεοὶ προγινώσκουσι τὰ μέλλοντα, δι᾽ ἀυτοῦ κατασκευάζειν τὸ ἐξ ἀνάγκης ἀυτὰ γίνεσθαι, ὡς οὐκ ἂν ἐι μὴ οὕτω γίνοιτο προγνωσομένων. Ἐι δὲ τῇ τῶν θεῶν προγνώσει τε καὶ προαγορεύσει τὸ ἀναγκαῖον ἕπεται, καὶ κατ᾽ ἀυτοὺς ἐι μὴ τὸ ἀναγκαῖον ἐν τοῖς γινομένοις ἐίη, οὐκ ἂν κατ᾽ ἀυτοὺς [8]) οἱ θεοὶ προγινώσκοιεν τὰ μέλλοντα, ὥςτε καὶ ἀυτοὶ τὴν ἀυτὴν ἀδυναμίαν τοῖς θεοῖς φυλάσσουσιν (ἐι γὰρ κατ᾽ ἀδυναμίαν χρὴ καὶ ἀσθενείαν λέγειν γίνεσθαι τὸ τὰ ἀδύνατα μὴ δύνασθαι) οὐ δὴ τῷ θείῳ πλέον τι δύνασθαι διὰ τῆς προῤῥήσεως ἀνάπτουσιν, ἀλλὰ διὰ τοῦ προλαμβάνειν τοῦτο τὴν φύσιν τὴν τῶν πραγμάτων τοιαύτην ἐιςάγουσιν οὐδαμῶς ἀκόλουθα καὶ συνῳδὰ τοῖς γινομένοις τε καὶ ἐναργέσι λέγοντες. Τούτῳ γὰρ προςχρωμένοις [9]) ἐνέσται πάντα τὰ ἀδύνατα δεικνῦναι, τῷ ἐύλογον ἐῖναι μὴ ἀγνοεῖν ἀυτὰ τοὺς θεοὺς, δύναται γάρ τις [9a]) λαβὼν τὸ ἄτοπον ἐῖναι τοὺς θεοὺς μὴ ἐιδέναι τὸ ἄπειρον, πόσων ἐστὶ [θέμενος] μέτρων [10]) τοῦτο προςλαμβάνειν τὸ δυνατὸν ἐῖναι γινώσκεσθαι τὸ ἄπειρον πόσων ἐστὶ μέτρων, ἐι δὲ τοῦτο δυνατὸν, ἐῖναι τὸ ἄπειρον ὡρισμένων τινῶν μέτρων [11])· ἐι γὰρ μὴ ἦν, οὐδ᾽ ἂν οἱ θεοὶ ᾔδεσαν ἀυτὸ πόσων ἐστὶ μέτρων. Ἐπεὶ δὲ ἐι τὸ προγινώσκειν τα μέλλοντά ἐστι, τὸ ὁποῖά ἐστι [12]), τοιαῦτα ἀυτὰ γνωρίζειν ὄντα (ἄλλο γὰρ τὸ προγινώσκειν τοῦ ποιεῖν) δῆλον ὅτι τὰ ἐνδεχόμενα προγινώσκων ὡς τοιαῦτα προγνώσεται· οὐ γὰρ πρόγνωσις τὸ ἐνδεχόμενον ὡς ἐσόμενον ἀναγκαίως ἔσεσθαι λέγειν· ὥςτε καὶ οἱ θεοὶ τὰ ἐνδεχόμενα ὡς ἐνδεχόμενα ἂν προγινώσκοιεν, ᾧ οὐ πάντως ἀκολουθήσει τὸ ἀναγκαῖον διὰ τὴν τοιαύτην πρόγνωσιν· οὕτω δὲ καὶ προλεγόντων ἀκούομεν. Οἱ γὰρ μετὰ τοῦ συμβουλεύειν τινὰ ἁιρεῖσθαί τε καὶ πράττειν ἃ χρὴ, προλέγοντες, οὐχ ὡς ἐξ ἀνάγκης

cuncta fieri ex necessitate, quia scilicet, ni id esset, non possent ista praenosci. Quod si ex Deorum praesignificatione ac praenotione necessitas etiam apud istos contra quos nos disputamus recte infertur, si iam in rebus non sit necessitas, consequens erit etiam ex ipsorum sententia non praenosci futura ne a Diis quidem.. Itaque et ipsi aliquam impotentiam Diis relinquunt, si modo impotentiae sive infirmitatis est ea non posse quae fieri nequeunt. Nihil igitur plus potentiae per praedictiones Diis adstruunt. Sed quia has anticipato sumunt, ideo et naturam rerum introducunt, quae isti sumtioni consentiat. Dicunt interim ea quae nec consequentia sunt, nec consentanea iis quae fiunt, et in conspicuo sunt posita. Nam si a ratione qua isti argumentantur argumentari licet, licebit iam omnia quae fieri non possunt probare esse, ideo quod non credibile sit ea a Diis ignorari. Sic aliquis pro certo sumens absonum esse a Diis ignorari infinitum, quod in se habeat certi generis mensuras, mox assumet sciri posse quantae mensurae sit id quod infinitum est: quod si hoc sciri potest, certo infinitum habere definitum mensurarum talium numerum. Nam si id non sit, iam ignoraturos Deos, quantarum mensurarum sit id quod est infinitum. Quandoquidem vero praenosse futura est ea praenosse qualia sunt (aliud enim est praenosse, aliud efficere) manifestum hinc est eum, qui praenovit res ambigui eventus eas praenosse ut tales. Non enim id sit praenosse id quod ambigui eventus est, dicere necessario futurum. Quare et Dii quae ambigui sunt eventus praenoscent ut talia, ac proinde non omnino inferri poterit necessitas ex tali praenotione. Et sane sic audimus eos futura praesignificare. Nam qui postquam consilium dedere ad deligenda et agenda ea quae agere expedit, praedicunt

ἐσομένων περὶ ὧν προλέγουσι [13]). Καθόλου δὲ ἐι μὲν πάντα τοῖς θεοῖς δυνατά [14]) φασιν ἐῖναι, ἔσται δὲ καὶ τὰ ἀδύνατα ἐκείνοις δυνατὰ, οὐ μὴν δειχθήσεται διὰ τῆς ἐκείνων περὶ τῶν μελλόντων προγνώσεως, τὸ πάντα ἐξ ἀνάγκης τὰ γινόμενα γίνεσθαι. Ἐι δὲ συγχωροῦσι τὰ ἀδύνατα καὶ τοῖς θεοῖς ἐῖναι τοιαῦτα, πρῶτον μὲν αὐτοὺς χρὴ δεικνῦναι δυνατὴν ἐῖναι τὴν τοιάνδε πρόγνωσιν, ἐιθ᾽ οὕτως αὐτὴν ἀνατιθέναι τοῖς θεοῖς. Οὔτε γὰρ ἐναργὲς οὐθ᾽ ὑπὸ τῶν γινομένων ὁμολογούμενον τὸ ταύτην τὴν περὶ τῶν μελλόντων πρόγνωσιν ποιεῖσθαι τοὺς θεούς. Ἡμεῖς μὲν οὖν οὔτε ἀναιροῦμεν μαντικὴν, οὔτε τὴν πρόγνωσιν τῶν θεῶν, ὡς ἔχει φύσεως τὰ πράγματα, οὕτως αὐτοὺς περὶ αὐτῶν προλέγειν λέγοντες.

ΚΑ.

Ἀλλ᾽ οὐδὲ ἀφαιρούμεθα τῶν ἀνθρώπων τὸ ἀπὸ μαντικῆς χρήσιμον, ὃ γίνεται [1]) τῷ δύνασθαί τινα καὶ φυλάξασθαί τι μὴ φυλαξάμενον ἂν, μὴ συμβουλεύσαντος τοῦ θεοῦ. Ὁι δὲ ὑμνοῦντες [2]) τὴν μαντικὴν καὶ κατὰ τὸν ἁυτῶν λόγον μόνον σώζεσθαι λέγοντες αὐτὴν, καὶ ταύτῃ πίστει [3]) τοῦ πάντα καθ᾽ ἑιμαρμένην γίνεσθαι χρώμενοι, πρὸς τῷ μηδὲν ἀληθὲς λέγειν, προσέτι καὶ ἄτοπά τινα καὶ ἀλλότρια παντάπασι θεῶν περὶ αὐτῶν [3 a]) τολμῶσι λέγειν. Πῶς πὰρ οὐκ ἄτοπα τὰ περὶ αὐτῶν ὑπ᾽ αὐτῶν λεγόμενα; Ἀπορούντων γάρ τινων πρὸς αὐτοὺς, τί δή ποτε, ἐι πάντα τὰ γινόμενα ἐξ ἀνάγκης γίνεται, αἱ παρὰ τῶν θεῶν μαντεῖαι μὲν γίνονται συμβουλαῖς ἐοικυῖαι, ὡς δυναμένων δι᾽ ἃ ἤκουσαν [4]) καὶ φυλάξασθαί τι καὶ ποιῆσαι τῶν ἀκουσάντων, καὶ δὴ καὶ τὸν τῷ Λαΐῳ δοθέντα χρησμὸν παρεχομένων [5]), δι᾽ ὃ λέγει πρὸς αὐτὸν ὁ Πύθιος περὶ τοῦ μὴ δεῖν παιδοποιεῖσθαι

aliquid, ii non praedicunt de futuris omnibus, ut necessario futuris. Tum vero si omnia dicant Diis esse talia ut fieri possint, iam et quae fieri non possunt, apud Deos erunt talia quae fieri possunt, ac propterea non poterunt probare per praenotionem, quam Dii habent de rebus futuris, omnia quae fiunt necessario fieri. Si vero contra concesserint quae fieri nequeunt, etiam apud Deos esse talia, iam primum illos ostendere oportet illam talem praenotionem esse eorum quae fieri possunt, deinde eam Diis adscribere. Neque enim evidens est, neque ex iis quae fiunt in confesso positum, talem praenotionem futurorum esse apud Deos. At nos neque divinationem neque Deorum praenotionem tollimus, sed prout res natura se habent, ita eos praesignificare dicimus.

XXXI.

Neque etiam auferimus hominibas utilitatem quam ex divinatione capere possunt, quia fieri potest ut quis aliquid caveat, quod alioqui caviturus non fuerat, nisi Deo monente. At illi qui vim divinatricem attollunt, et eam defendi negant posse, nisi ea ratione quam ipsi sequuntur et hoc utuntur argumento, quo omnia probent Fato geri, praeterquam quod veri nihil dicunt, multa de Diis dicunt absona et Diis minime convenientia. Quomodo enim non sint absona, quae illi de Diis dicunt? Cum enim aliqui adversus eos disputant, cur si cuncta de necessitate fiunt, quaedam oracula dentur in consilii modum, quasi qui ea audiunt, possint ob id quod audierunt aliquid aut cavere aut facere, et ad hoc adferunt oraculum Laio datum per quod Apollo Pythius eum monet ne liberos serat:

Ἐι γὰρ φυτεύσεις παῖδα 6), ἀποκτενεῖ σ' ὁ φὺς 7).
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.

φασὶν, ὡς κηρύττει τὰ συγγράμματα αὐτῶν, οὕτως αὐτὸν χρῆσαι, μὴ ὡς οὐκ ἐιδότα [8]) ὅτι μὴ πεισθήσεται (πάντως γὰρ μᾶλλον ᾔδει) ἀλλ' ὅτι μηδὲν μὲν αὐτοῦ τοιοῦτον χρήσαντος, οὐδὲν ἔμελλε τῶν [5]) κατὰ τὴν περιπέτειαν τὴν περὶ τὸν Λάϊόν τε καὶ τὸν Οἰδίπουν γινομένων γίνεσθαι· οὔτε γὰρ ἂν ἐξέθηκεν ὁ Λάϊος τὸν γενόμενον αὐτῷ παῖδα, ὡς ἐξέθηκεν, οὔτ' ἀναιρεθεὶς ὁ παῖς ὑπὸ τοῦ βουκόλου, καὶ δοθεὶς πρὸς ἐισποίησιν τῷ Κορινθίῳ Πολύβῳ, ἀνδρωθεὶς καὶ περιτυχὼν τῷ Λαΐῳ κατὰ τὴν ὁδὸν, ἀγνοῶν τε καὶ ἀγνοούμενος ἀπέκτεινεν αὐτόν. Οὐ γὰρ ἄν ποτε ὡς υἱὸς ἔνδον παρ' αὐτῷ τρεφόμενος [10]) ἠγνόησε τοὺς γονεῖς, ὡς τὸν μὲν αὐτῶν ἀποκτεῖναι, τὴν δὲ [11]) ἀγαγέσθαι πρὸς γάμον. Ὅπως οὖν ταῦτα πάντα σωθῇ καὶ πληρωθῇ τὸ τῆς ἑιμαρμένης δρᾶμα, φαντασίαν ὁ θεὸς διὰ τοῦ χρησμοῦ τῷ Λαΐῳ παρέσχεν ὡς δυναμένῳ φυλάξασθαι τὰ λεγόμενα, καὶ ἐπεὶ μεθυσθεὶς ἐπαιδοποιήσατο, ἐξέθηκε τὸ γενόμενον παίδιον, ὡς διαφθερῶν, ἥτις ἔκθεσις ἀιτία τῶν ἀνοσίων μύθων ἐγένετο. Ἐῖτα τίς ταῦτα λέγων πῶς ἢ σώζει μαντικὴν, ἢ περὶ θεῶν ἐυσεβείας [12]) διδάσκει προλήψεις, ἢ χρήσιμόν τι δείκνυσιν ἔχουσαν τὴν μαντικήν; Ἡ μὲν γὰρ μαντικὴ δοκεῖ τῶν μελλόντων προαγόρευσις ἐῖναι, οἱ δὲ τὸν Ἀπόλλω ποιητὴν ὧν προαγορεύει ποιοῦσιν. Ὃ γὰρ οὐκ ἂν οὕτως ἐγένετο μὴ τοῦτον τὸν τρόπον χρήσαντος τοῦ θεοῦ, καὶ ἃ διὰ τοῦτο οὕτως ἔχρησεν [13]), ὅπως γένηται τὰ ἐπ' αὐτοῖς γενόμενα, πῶς οὐκ ἔργα τοῦ χρήσαντος, ἀλλ' οὐ μήνυσις τῶν ἐσομένων; Ἀλλ' ἐι καὶ δεῖ πλέον τι τῶν ἄλλων μάντεων ἔχειν τοὺς θεοὺς, ὡς καὶ συμπράσσειν τοῖς ἐσομένοις πρὸς τὸ γίνεσθαι συνεργούμενον, καὶ γὰρ οἱ ποιηταὶ τοῦτό γε περὶ θεῶν ὑμνοῦντες διατελοῦσιν, ὅτι ἄρα ἐισὶ δοτῆρες ἐάων [14]),

Te namque perimet, si qua erit proles tibi,
Atque inde tota sanguine undabit domus.

Respondent illi, ut in ipsorum operibus legitur, ita Apollinem oraculum edidisse, quasi nesciret eum non pariturum, cum tamen maxime id sciret. Factum autem id, quia ni ita datum esset oraculum, nihil eventurum fuisset illorum admirabilium casuum, qui Laio et Oedipo evenere. Neque enim exposuisset natum sibi filium Laius, sicut exposuit, neque filius a bubulco educatus, datusque in adoptionem Corinthio Polybo, ad virilem provectus aetatem et obviam factus Laio occidisset ignarus ignarum. Neque enim ignorasset parentes suos, si domi apud eos educatus esset, ita ut alterum occideret, alteram sibi faceret coniugem. Ut igitur haec omnia starent ac impleretur Fato nexa Fabula, Deus per oraculum hanc cogitationem iniecit Laio, posse ab ipso caveri praedicta, et cum inebriatus prolem sevisset, exposuit ille natum sibi filium tanquam vitam ei ademturus. Quae expositio causa fuit eorum, quae cum detestatione in scena audimus. At qui dicit talia, quomodo aut divinationem defendit, aut notitias servabit, unde pietas in Deum nascitur, aut utilitatem aliquam in vaticiniis monstrat? Nam vaticinatio creditur esse praedictio futurorum; illi autem Apollinem faciunt opificem eorum quae praedicit. Quod enim futurum non fuerat, nisi eo modo Deus dedisset oraculum, et quidem ob id ipsum sic dedisset, ut quae postea secuta sunt, fierent, quomodo non opus sunt magis dantis oraculum quam futurorum praesignificatio? Quod si etiam aliquid plus caeteris vatibus Deos habere oportet, ita ut et opitularentur ad rem futuram, ut ea sic provecta fiat (nam et Poëtae id de eis perpetuo celebrant esse eos bonorum datores) at secundum ea quae illi

κατὰ δὲ τὰ ὑπὸ τούτων λεγόμενα, εἰς ἀγαθὸν μὲν οὐδὲν ὁ Πύθιος τῷ Λαΐῳ συνεργεῖ [15]), ἀγωνίζεται γὰρ καὶ πάντα πράττει πρὸς τὸ μηδὲν τῶν ἀνοσιωτάτων τε καὶ ἀσεβεστάτων παρελθεῖν τὸν οἶκον αὐτοῦ, ὧν ἀκούσας τίς οὐκ ἂν εὐσεβεστέραν εἴποι τὴν λεγομένην ὑπὸ τῶν περὶ Ἐπίκουρον ἀπρονοησίαν τῆς τοιαύτης προνοίας; Πῶς δὲ συνῳδὰ ἀλλήλοις τὸ ὁμοῦ μὲν θεὸν λέγειν τὴν εἱμαρμένην καὶ χρῆσθαι τοῖς οὖσί τε καὶ γινομένοις ἐν τῷ κόσμῳ ἐπὶ σωτηρίᾳ αὐτοῦ τε τοῦ κόσμου, καὶ τῆς τῶν ἐν αὐτῷ τάξεως, ὁμοῦ δὲ τοιαῦτα περὶ αὐτῆς λέγειν, ὡς παραλαμβάνειν πρὸς τὰς πράξεις τὰς ἀνοσιωτάτας [16]), διὰ τὴν περὶ αὐτὰ σπουδὴν, καὶ τὸν Πύθιον σύνεργον; Ἐπὶ τίνων γὰρ σωτηρίᾳ ἐροῦσι χρῆσθαι τὴν εἱμαρμένην πατρὸς ὑπὸ παιδὸς ἀναιρέσει [17]), καὶ γάμῳ μητρὸς καὶ παιδὸς ἀνοσίῳ; καὶ γενέσει παίδων ἀδελφῷ καὶ πατρί [18]); τί τῆς ἐν κόσμῳ διοικήσεως ἐκ τούτων ἔχειν εὔλογον τὴν σωτηρίαν, ὡς καὶ τὸν Ἀπόλλω φοβεῖσθαι μή τι παρέλθῃ τούτων ἄπρακτον; πότερον ἐμπόδια [19]) μὴ γινόμενα τῇ τῶν ἀνθρώπων κατὰ πόλεις τε καὶ νομοὺς [20]) οἰκήσει, ἢ τῇ τῶν στοιχείων τοῦ κόσμου σωτηρίᾳ, ἢ τῇ τῶν θείων εὐτάκτῳ τε καὶ ἀϊδίῳ περιφορᾷ, ἢ τίνι τῶν ἐξ ὧν τὸν κόσμον συνεστάναι τε καὶ διοικεῖσθαι συμβέβηκεν; Δῆλον δ᾽ ὅτι κἂν ἄλλόν τινα μῦθον πάλιν ἀκούσωσιν παρά τινος τῶν τραγῳδοποιῶν, οἷς ἔργον τὰ τοιαῦτα πλάσματα, ἢ γυναῖκά τινα [21]) διὰ ζηλοτυπίαν ἐπιβουλευσαμένην μὲν ἀλλοτρίοις τέκνοις, ἀποκτείνασαν δὲ τὰ ἑαυτῆς, ἤ, Θυέστην τινὰ δυστυχῆ γέροντα τῶν σαρκῶν τῶν παιδίων αὐτοῦ ἐσθίοντα, Ἀτρέως τινὸς ἀδελφοῦ τοιαύτην παραθέντος αὐτῷ τράπεζαν, πιστεύουσι δὴ [22]) τοῖς μύθοις ὡς γεγονόσι, καὶ τὴν εἱμαρμένην τε καὶ πρόνοιαν δι᾽ αὐτῶν κατασκευάζουσιν, ὥσπερ ἔργον ποιούμενοι ἃ βούλονται κατασκευάζειν δι᾽ αὐτῶν τῶν κατασκευῶν ἀναιρεῖν. Καί



dicunt, ad nihil boni Pythius Laio utilis fuit. In hoc enim agit, in hoc laborat omnia, ne quid impii ac nefandi domus ista effugiat. Quae audiens aliquis nonne magis piam dixerit Epicuri sententiam de improviso cuncta fieri, quam talem providentiam? Quomodo vero haec inter se concordant, Deum dicere esse Fatum, eumque uti iis quae sunt fiuntque in Mundo ad conservandum tum Mundum ipsum, tum eorum quae in eo sunt, ordinem, atque interim talia de Fato dicere, assumi nempe ab eo ad actiones maxime abominandas, ob ingens erga illas studium, etiam Pythium adiutorem? Ad quarum enim rerum conservationem dicent Fatum usum fuisse patris caede per filium facta, incestis nuptiis filii cum matre, et generatione filiorum patris simul ac fratris? Quid horum est quod ad mundi gubernationem credi posset aliquid salutare adferre, ut etiam Apollo timere deberet, ne quid eorum maneret infectum? An ista ni evenissent, impedimentum id futurum fuerat hominum habitationi per oppida et pagos, aut perpetuandis elementis, unde constat hic mundus, aut caelestium corporum ordinatae ac perenni rotationi, aut alicui earum rerum, per quas constituitur, aut ratione gubernatur mundus? Pro certo etiam habendum, si aliam aliquam fabulam audiverint a tragoediarum scriptore aliquo, quibus mos est talia fingere, puta mulierem quae per aemulationem insidietur alienis liberis, interficiat vero suos, aut miserum senem Thyestem suorum liberorum carne vescentem, Atreo scilicet fratre tales ei apparante epulas, credituros illos istis fabulis tanquam rebus veris, et per illa exstructuros Fatum suum, ac providentiam, tanquam id haberent propositum, quae adstruunt per ea quae adstruunt evertere. Atqui multo erat aequius istas narrationes reiicere propter absona quae conse-

τοι μακρῷ βέλτιον ἦν καὶ εὐγνωμονέστερον ἀναιρεῖν τὰς ὑποθέσεις διὰ τὴν τῶν ἑπομένων αὐταῖς ἀτοπίαν, ἢ τοῖς οὕτως ἀτόποις [23]) διὰ τὰς ὑποθέσεις παρίστασθαι. Οἱ δὲ καὶ πιστεύουσι τοῖς ἀτοπωτάτοις ῥαδίως καὶ τοῦ κατὰ λόγον αὐτὰ γενέσθαι αἰτίας τινὰς λέγειν οὐκ ὀκνοῦσιν.

ΛΒ.

Ἀλλὰ τῶν μὲν τοιούτων ἅλις. Ἱκανὸν γὰρ ἐφ' ἑκάστου τὸ ἐνδείξασθαι τὴν τῆς δόξης ἀτοπίαν. Ἱκανῶς δ' οἶμαι δεδηλῶσθαι πῶς λέγεται τὸ ἐπὶ τῷ φρονίμῳ εἶναι τὸ φρονεῖν, καί τοι μὴ δυναμένῳ τὸ οὐ φρονεῖν [1]). Οὐ γὰρ ὅτι νῦν ὅτε ἐστὶ φρόνιμος ἐπ' αὐτῷ τὸ εἶναι τοιούτῳ (ἦν γὰρ ἂν καὶ τοῦ νῦν μὴ φρονεῖν κύριος) ἀλλ' ὅτι πρὸ τοῦ τοιοῦτος γενέσθαι, εἶχεν ὥσπερ δὴ τοῦ γενέσθαι, οὕτω δὲ καὶ τοῦ μὴ γενέσθαι τοιοῦτος τὴν ἐξουσίαν, καὶ δι' ἣν προειρήκαμεν αἰτίαν [2]) πρὸς τὸ γενέσθαι τοιοῦτος συνήργησεν αὐτῷ. Ἐπὶ δὲ τῶν θεῶν οὐκέτ' ἂν τὸ εἶναι τοιούτοις (ὅπερ ἦν καὶ αὐτὸ ἐν τοῖς ὑπ' ἐκείνων ἀπορουμένοις) ὅτι γάρ ἐστιν αὐτῶν ἐν τῇ φύσει τὸ τοιοῦτον [3]), οὐδὲν δὲ τῶν οὕτως ὑπαρχόντων, ἐπ' αὐτῷ. Διὰ τοῦτο γὰρ τὰ ἐκείνων ἀγαθὰ τίμιά τε καὶ μακαριστὰ, μεῖζόν τι τῶν ἐπαινετῶν ἀγαθῶν ἔχοντα, ὅτι τὴν ἀρχὴν ἡ φύσις αὐτῶν [τοῦ χείρονος] ἀνεπίδεκτός ἐστιν [4]), ἡμεῖς δὲ ἐπὶ κτήσει [5]) τῶν ἀρετῶν ἐπαινούμεθα, ὅτι τῆς φύσεως ἡμῶν ἐπιδεκτικῆς οὔσης καὶ τοῦ χείρονος, οὐκ ὠκνήσαμεν πρὸς τὰ βελτίω, καὶ τῶν μὲν χειρόνων ἀνιδρωτὶ καὶ χωρὶς καμάτων περιγίνεσθαι δοκούντων, τῆς δὲ ἀρετῆς μετὰ πόνων τε καὶ μετὰ καμάτων καὶ πολλῶν ἱδρώτων. Ἔχει μέν τοι καὶ ὁ φρόνιμος ἐπὶ τῶν καθέκαστα πράξεων τοῦ καὶ μὴ πράττειν αὐτὰς τὴν ἐξουσίαν, εἴποτε κἀκείνοις πράξεις τινὲς γίνοιντο περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν. Οὐ γὰρ ἀφῄρηται τὴν ἐξουσίαν οὔτε ὁ Πύθιος τοῦ τῷ αὐτῷ χρῆσθαι τέ καὶ

quuntur, quam tam absona propter illas narrationes defendere. At illi absurdissima quaeque credunt perfacile, et cur rationis sit ista fieri, causas addere non dubitant.

XXXII.

Sed de his satis. Sufficit enim in quaque re ostendere adversariae sententiae absona. Supra autem satis explicatum arbitror quomodo dicatur probitas esse in viri probi potestate, quanquam is non possit nunc non esse probus. Dicitur enim hoc non quod nunc probus est, id ipsum esse in ipsius potestate: (id enim si esset, iam libertatem haberet etiam ut sit non probus) sed quia, antequam talis fieret, habebat libertatem, per quam talis fieret vel non fieret, ac ob eam quam ante attulimus causam ipse sibi ut talis fieret, opitulator fuit. In Deorum autem potestate non est ut tales sint, quod et ipsum unum est ex iis quae illi obiectant. Nam quod tales sunt, in eorum natura continetur. Quae autem sunt eius generis ea non sunt in potestate. Propterea ipsorum bona veneranda sunt et beata appellanda, quia plus aliquid in se habent quam quae laudantur bona, quia omnino natura ipsorum [deterioris] non erat capax. Nos autem de bonorum adoptione laudamur, quia cum natura nostra etiam peioris erat capax, non segnes fuimus ad meliora, idque cum peiora nobis sine sudore et labore adesse videantur, virtus autem cum labore et molestiis et sudore multo. Verum insuper qui probus est, habet etiam circa singulas actiones non agendi libertatem, siquidem actiones quasdam edit circa ea, quae possent se et aliter habere. Neque vero hanc libertatem adimit vel Pythius oracula

μὴ [6]), οὔτε ὁ Ἀσκληπιὸς τοῦ προΐστασθαι. Πάντες γοῦν σχεδὸν ἄνθρωποι καταφεύγουσιν ἐπ᾽ αὐτὸν, ἔνθα ἂν ἐπιφανέστατος ᾖ, πεπιστευκότες ὅτι τοῖς σπουδάζουσιν αὐτὸν ἔχειν ἰατρὸν μᾶλλον τῶν οὐ σπουδαζόντων ἐπιδίδωσιν αὐτόν [7]).

ΛΓ.

Τὸ δὲ λέγειν ἡγεῖσθαι τοὺς οὐχ ἡγουμένους ἐν τῷ σώζεσθαι τὴν καθ᾽ ὁρμὴν τῶν ζώων ἐνέργειαν, ἤδη σώζεσθαι καὶ τὸ ἐφ᾽ ἡμῖν, τῷ μὴ πᾶν [1]) τὸ καθ᾽ ὁρμὴν γινόμενον ἐπὶ τοῖς ὁρμῶσιν εἶναι, καὶ διὰ τοῦτο ἐρωτᾷν, εἰ μὴ ἐνέργημά τι τὸ ἐφ᾽ ἡμῖν ἐστι, καὶ λαβόντας ἐπὶ τούτῳ πάλιν ἐρωτᾷν, εἰ μὴ τῶν ἐνεργημάτων [2]) τὰ μὲν εἶναι δοκεῖ καθ᾽ ὁρμὴν, τὰ δὲ οὐ καθ᾽ ὁρμὴν, ὃ λαβόντας πάλιν προστιθέναι τούτῳ, τὸ μήτε τῶν ἐνεργημάτων μὲν, μὴ καθ᾽ ὁρμὴν δὲ εἶναί τι ἐφ᾽ ἡμῖν, καὶ αὐτοῦ συγχωρουμένου [3]) ἐπὶ τούτοις λαμβάνειν, τὸ πᾶν τὸ καθ᾽ ὁρμὴν γινόμενον ἐπὶ τοῖς οὕτως ἐνεργοῦσιν εἶναι, ἐπειδὴ ἐν μηδενὶ τῶν ἄλλως ἐνεργουμένων ἐστὶ, καὶ διὰ τούτου [4]) λέγειν σώζεσθαι κατ᾽ αὐτοὺς καὶ τὸ τοιοῦτον ἐφ᾽ ἡμῖν, ὃ δυνατὸν ὑφ᾽ ἡμῶν γενέσθαί τε καὶ μὴ, εἶναι δὴ καὶ τὰ οὕτω γινόμενα ἐν τοῖς καθ᾽ ὁρμὴν γινομένοις, ἔστι πῶς οὐ παντάπασιν ἀγνοούντων ταῦτα πρὸς ἃ ποιοῦνται τοὺς λόγους; Οὐ γὰρ εἰ ἐν τοῖς καθ᾽ ὁρμὴν ἐνεργουμένοις τὸ ἐφ᾽ ἡμῖν εἶναι συγκεχώρηται διὰ τοῦ λόγου, ἤδη πᾶν τὸ καθ᾽ ὁρμὴν ἐνεργούμενον ἐφ᾽ ἡμῖν. Ταῦτα γὰρ μόνα τῶν καθ᾽ ὁρμὴν γινομένων τὸ ἐφ᾽ ἡμῖν ἔχει, ὅσα κατὰ λογικὴν ὁρμὴν ἐνεργεῖται. Λογικὴ δ᾽ ἐστὶν ὁρμὴ ἐν τοῖς βουλευτικοῖς τε καὶ προαιρετικοῖς [5]) γινομένη, τουτέστιν ἡ τῶν ἀνθρώπων, ὅταν ἐπὶ τούτοις γίνεται, τῶν γὰρ ἄλλων ζώων αἱ καθ᾽ ὁρμὴν ἐνέργειαι οὐ τοιαῦται, ἅτι μηκέτ᾽ ἐν ἐκείνοις ἐξουσίᾳ τοῦ καὶ μή τι ποιῆσαι τὸ καθ᾽ ὁρμὴν ἐνερ-

dando aut non dando, aut Aesculapius curam nostri gerendo. Ferme omnes homines ad ipsum concurrunt, ubi praesentissimum est eius auxilium, cum hac opinione plus eum favere eis qui operam dant ut ipsum habeant sibi praestitem, quam in id operam nullam impendentibus.

XXXIII.

Quod autem dicunt illi eos qui non putant, cum defenditur animantium ex appetitu motio, eo ipso defendi id quod est in nostra potestate, non existimare in appetentium esse potestate talem ex appetitu motionem, et propterea interrogant annon actus vel motio sit quod in nostra potestate est, hocque ipsis concesso iterum interrogant, annon actuum alii exstant ex appetitione, alii absque ea; quo concesso rursum addunt eorum quae sine appetitione fiunt nihil esse in nostra potestate: quo rursum dato, addunt ulterius, omne quod appetitione fit esse in potestate facientium, quandoquidem id non reperiatur in aliter facientibus, ac proinde dicunt a se quoque defendi in tantum quod in nostra potestate est, quantum nos id possimus facere vel non facere, quae autem ita a nobis fiant, ex appetitu fieri: nonne haec omnia sunt verba ignorantium contra quid disputent? Non enim si ob id quod dicunt conceditur in iis quae cum motione ex appetitu fiunt, conspici id quod est in nostra potestate, eo sequitur omne id quod ex motione appetitus fit, esse in nostra potestate. Illa enim sola eorum quae ex appetitu fiunt, in potestate nostra sunt, quae fiunt ex appetitu rationis participe. Rationis autem particeps appetitus est in iis quae consultant et deligunt, id est humanus, ubi fit istis praecedentibus. Nam aliorum animantium ex appetitu motiones non sunt istiusmodi, quia in ipsis non est

γούμενον [6]. Διὸ ἐν ταῖς καθ' ὁρμὴν ἐνεργείαις τὸ ἐφ' ἡμῖν, οὐ μὴν διὰ τοῦτο πᾶσα καθ' ὁρμὴν ἐνέργεια γινομένη τὸ ἐφ' ἡμῖν ἔχει.



ΛΔ.

Πῶς δ' οὐκ ἀγνοούντων τὰ ὑφ' αὐτῶν γινόμενα [1]) τὸ τῇ ἀληθείᾳ τῶν γινομένων, ἣν ἀναιροῦσι διὰ τοῦ δόγματος, αὐτῇ κεχρῆσθαι [1] a) πρὸς κατασκευὴν τοῦ ἀναιροῦντος αὐτὴν [2]) δόγματος; Λαβόντες γὰρ τὸ ἕκαστον τῶν συνεστώτων φύσει καθ' εἱμαρμένην εἶναι τοιοῦτον, ὁποῖόν ἐστι, ὡς ταὐτοῦ ὄντος τοῦ τε φύσει καὶ τοῦ καθ' εἱμαρμένην, προςτιθέασι τὸ, οὐκοῦν κατὰ τὴν εἱμαρμένην καὶ αἰσθήσεται τὰ ζῷα καὶ ὁρμήσει. Καὶ τὰ μὲν τῶν ζώων ἐνεργήσει μόνον [3]), τὰ δὲ πράξει τὰ λογικὰ, καὶ τὰ μὲν ἁμαρτήσεται, τὰ δὲ κατορθώσει. Ταῦτα γὰρ τούτοις κατὰ φύσιν μέν. Ὄντων δὲ καὶ ἁμαρτημάτων καὶ κατορθωμάτων, καὶ τῶν τοιούτων φύσεων καὶ ποιοτήτων μὴ ἀγνοουμένων καὶ ἔπαινοι μὲν καὶ ψόγοι, καὶ τιμαὶ καὶ κολάσεις [4])· ταῦτα γὰρ οὕτως ἔχει ἀκολουθίας τε καὶ τάξεως. Οὐ μὴν ἀκολουθεῖ ἔτι ταῦτα τοῦτον γίνεσθαι τὸν τρόπον τοῖς τὴν φύσιν τε καὶ τὰ γινόμενα κατὰ φύσιν εἰς τὴν εἱμαρμένην τε καὶ τὴν ἀνάγκην μεταφέρουσι. Κατὰ φύσιν μὲν γὰρ τοῖς πρακτικοῖς τε καὶ λογικοῖς ζώοις τὸ καὶ ἁμαρτάνειν καὶ κατορθοῦν δύνασθαι, τῷ μηδέτερον αὐτῶν ποιεῖν κατηναγκασμένως. Καὶ τοῦτ' ἀληθές ἐστι καὶ τοῦτον ἔχει τὸν τρόπον, οὐ μέν τοι γε, ὅτι πάντα [5]) ἃ ποιοῦμεν ἐξ ἀνάγκης ἡμᾶς ποιεῖν λέγουσιν, ἔπειτα τοὺς μὲν κατορθοῦν τῶν λογικῶς ἐνεργούντων, τοὺς δὲ ἁμαρτάνειν, ἐξ ἀνάγκης δε πάντα ποιοῦμεν· καθ' οὓς ἀδύνατον μὲν τῶνδε τινῶν περιεστώτων μὴ πράσσειν ἡμᾶς, τὰ δ' ἐξ ἀνάγκης

libertas faciendi vel non faciendi id ad quod appetitu moventur. Reperitur ergo id quod in potestate esse dicimus in operationibus quae appetitu se movente fiunt: at non contra omnis quae appetitu se movente fit operatio, in se habet id quod in potestate esse dicitur.

XXXIV.

Annon vero non est ignorantium quid dicant veritate rerum quae fiant, quam ipsi per sua tollunt placita, uti adstruendo placito, quod ei veritati repugnat? Sumentes enim hoc, eorum quae per naturam exsistunt unumquodque Fato esse tale quale est, quasi idem sit esse natura et Fato, addunt deinde, Fato igitur animantia et sentiunt et ex appetitu moventur: et quaedam animantia operantur tantum, alia vero cum ratione agunt partim probe, partim improbe. Haec vero cum natura sint talia id est proba vel improba, quia tales naturae et qualitates non ignotae sunt, ideo oriuntur laudationes et vituperationes, praemia et poenae. Haec enim inter se consequentiam et ordinem habent. At vero non consentaneum est haec ad eum modum fieri, si eos sequimur qui naturam et quae ex natura fiunt, ad Fatum necessitatemque referunt. Naturale quidem est animantibus cum ratione agentibus posse et recte et prave agere, eo quod neutrum faciant ex necessitate. Et hoc certe verum est et sic se habet. Non autem illud quod adiungunt omnia ex necessitate nos agere; et tamen quosdam cum ratione opera edentium recte agere, peccare alios, sed ita ut ex necessitate agamus haec omnia. Nam secundum ipsos fieri non potest, ut talibus positis rebus circumstantibus non sic agamus ut agimus. Ea vero quae nos circumstant, et propter quae agimus, ex necessitate nos circumstant. At

ἡμᾶς ἀεὶ περιστήσεται ταῦτα δι' ἃ πράσσομεν· οὐ γὰρ τὸν ὁπωςοῦν χαριὲν ποιοῦντα κατορθοῦν τις λέγει, ἀλλ' οὐδ' ἁμαρτάνειν τὸν ὁπωςοῦν φαῦλόν τι πράττοντα, ἀλλ' ὁπωςοῦν ἐν ἐξουσίᾳ τὶς ὢν τῶν χειρόνων, αἱρεῖται καὶ πράσσει τὰ βελτίω 6), τοῦτον λέγομεν κατορθοῦν. Τὸν γοῦν τὰ αὐτὰ ταῦτα ἀπὸ τύχης ποιήσαντα οὐκέτι λέγομεν κατορθοῦν, ὡς τοῦ κατορθοῦν τὴν κρίσιν οὐκ ἀπὸ τῶν πραττομένων ἔχοντος μόνον, ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς ἕξεώς τε καὶ δυνάμεως ἀφ' ἧς πράσσεται. Καὶ ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἁμαρτημάτων. Ὅις δὲ ἡ ἐξουσία 7) τοῦ πράττειν ἄλλά τινα παρ' ἃ πράττουσιν ὑπὸ τῶν περιεστώτων ἀφήρηται, οὐδὲν αὐτοῖς συντελοῦσιν 7 a) ἐις τὸ τὰ αὐτοῖς περιεστᾶναι δι' ἃ πράττουσιν, πῶς ἂν ἔτι τούτους τὶς ἢ ἁμαρτάνειν, ἢ κατορθοῦν λέγοι; οὔτε γὰρ τῆς τοιαύτης ἕξεως, ἀφ' ἧς, τῶνδε τινῶν περιεστώτων, περὶ τὸ τάδε τινὰ πράττειν ὁρμὴ 8) γίνεται, αὐτός ἐστιν ἐν ἐξουσίᾳ, οὔτε τοῦ τὰ περιεστῶτα τοιαῦτα ἐἶναι. Διὰ τοῦτο γὰρ τῶν ἀλόγων ζώων οὐδὲν τούτων κατηγορεῖται. Ἀγόμενος δὲ ἐπὶ τὸ πράττειν ὑπό τε ἕξεως καὶ περιστάσεων τινῶν, μηδενὸς κύριος αὐτὸς τοῦ μὴ τοῦτον ἔχειν τὸν τρόπον, οὐδ' ἂν ἁμαρτάνειν ἔτι, ἢ κατορθοῦν ἐπὶ τοῖς οὕτω πραττομένοις λέγοιτο. Ἐπεὶ δὲ οἵ τε ἔπαινοι καὶ ψόγοι, κολάσεις τε καὶ τιμαὶ ἐπὶ τοῖς ἁμαρτήμασί τε καὶ κατορθώμασιν, ὡς καὶ αὐτοὶ λέγουσιν, δῆλον ὡς ἀναιρουμένων τούτων, ἀναιροῖτ' ἂν κἀκείνων ἕκαστον· τὸ γὰρ κατορθοῦν ἐπὶ τῶν θεῶν οὐ κυρίως ἂν λέγοιτο, ἀλλ' ὡς ἴσον τῷ τὰ ἀγαθὰ ποιεῖν. Ἐί γε ἐν ὅις μὲν τὸ κατορθοῦν, ἐν τούτοις καὶ τὸ ἁμαρτάνειν, ἀνεπίδεκτον δὲ τῶν ἁμαρτημάτων 9) τὸ θεῖον, διὰ τοῦτο οὐδὲ 10) ἐπαινοῦμεν τοὺς θεοὺς, τοῦ ὅτι κρείττους ἐισιν κατ' ἐπαίνους καὶ τὰ ἐφ' ὅις οἱ ἔπαινοι, κατορθώματα.

vero nos non quemvis qui aliquid faciat quod placet, dicimus recte agere, nec delinquere eum qui quovis modo aliquid facit indecens; sed tum demum cum quis libertatem habens ad peiora, deligit et agit meliora, eum dicimus recte agere. Nam si quis forte fortuna eadem faciat, eum recte agere non dicimus, quia ut recte aliquid agi iudicetur, non id ab actionibus pendet solis, sed multo ante ab animi constitutione et efficacia ex qua fiunt. Eademque in delictis ratio. Illis vero libertas agendi alia quam quae agunt a rebus circumstantibus abripitur, ipsis in id nihil contribuentibus, ut talia ipsos circumstent propter quae agunt. Et tales quomodo quis dicat aut delinquere aut recte agere? Nam neque in potestate quis sua habet, aut ne sit in tali animi statu, qui nascitur ex appetitione ad haec aut illa agenda, ubi tales res circumstant, nec quo minus tales res eum circumstent. Nam ob has causas nullum animal mutum de talibus accusamus. At vero qui ad agendum trahitur ab isto animi statu et istis rebus circumstantibus, quorum omnium ne ita se habeant ipse dominus non est, is certe nec in iis quae sic agit, recte agere nec delinquere dici potest. Cum vero laudationes et vituperationes locum habeant circa ea que recte aguntur aut quae peccantur, etiam ipsis fatentibus apertum est his sublatis etiam illa tolli. De Diis autem agere recte non proprie dicitur: sed forte dici potest eos bona facere, nimirum quia in quibus est recte agere, in iis est et peccare. Non est autem peccandi capax natura divina. Et propter hoc non laudamus Deos quia maiores sint et positi, tum supra laudes, tum supra virtutum actiones, quae laudari solent.

ΛΕ.

Μηδὲ ἐκεῖνον δὲ παραλείπομεν τὸν λόγον, ᾧ θαῤῥοῦσιν ὡς δεικνύναι δυναμένῳ [1]) τῶν προκειμένων τι. Λέγουσι γάρ· οὐκ ἔστι [2]) μὲν τοιαύτη ἡ ἑιμαρμένη, οὐκ ἔστι δὲ πεπρωμένη, οὐδέ ἐστι πεπρωμένη [3]) οὐκ ἔστι δὲ αἶσα, οὐδέ ἐστι μὲν αἶσα, οὐκ ἔστι δὲ νέμεσις, οὐκ ἔστι μὲν νέμεσις [4]), οὐκ ἔστι δὲ νόμος, οὐδέ ἐστι μὲν νόμος, οὐκ ἔστι δὲ λόγος ὀρθὸς προςτακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον· ἀλλὰ ἀπαγορεύεται μὲν τὰ ἁμαρτανόμενα, προςτάττεται δὲ τὰ κατορθώματα· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ ἑιμαρμένη, οὐκ ἔστι δὲ ἁμαρτήματα καὶ κατορθώματα· ἀλλ᾽ εἴ ἐστιν ἁμαρτήματα καὶ κατορθώματα, ἔστιν ἀρετὴ καὶ κακία· ἐι δὲ ταῦτα, ἔστι καλὸν καὶ αἰσχρόν· ἀλλὰ τὸ μὲν καλὸν ἐπαινετὸν, τὸ δὲ αἰσχρὸν ψεκτόν· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ ἑιμαρμένη, οὐκ ἔστι δὲ ἐπαινετὸν καὶ ψεκτόν· ἀλλὰ τὰ μὲν ἐπαινετὰ τιμῆς ἄξια, τὰ δὲ ψεκτὰ κολάσεως· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ ἑιμαρμένη, οὐκ ἔστι δὲ τιμὴ καὶ κόλασις, ἀλλ᾽ ἔστι μὲν τιμὴ γέρως ἀξίωσις, ἡ δὲ κόλασις ἐπανόρθωσις [5])· οὐκ ἄρα ἐστὶ μὲν τοιαύτη ἡ ἑιμαρμένη· οὐκ ἔστι γέρως ἀξίωσις καὶ ἐπανόρθωσις. Ἐι δὲ ταῦτα ἀφῄρηται [6]) μὲν εἶναι πάντων γινομένων καθ᾽ ἑιμαρμένην κατορθώματα τε καὶ ἁμαρτήματα, καί τιμαὶ καὶ κολάσεις, καὶ γέρως ἀξίωσις καὶ ἔπαινοι καὶ ψόγοι.

ΛΣΤ.

Ἀλλὰ ταῦτά γε ἐι μὲν ὑπό τινων αἰτίων περιεστώτων αὐτοῖς οὕτως ἀναγκάζονται λέγειν, συγγινώσκειν αὐτοῖς ἄξιον, καὶ οὐδὲν δεῖ οὐθ᾽ ἡμᾶς περὶ τῶν ὑπ᾽ ἐκείνων κατ᾽ ἀνάγκην λεγομένων πολυπραγμονεῖν, οὔτε ἐκείνους περὶ τῶν οὐχ ὁμοίως αὐτοῖς λεγόντων (ἑκάστοις γὰρ τῶν λεγομένων τε καὶ δοξάντων αἰτία [1]) ἡ τῶν περιεστώτων δύναμις) καὶ οὐδὲν δεῖ τοὺς λέγοντας

XXXV.

Sed ne illam quidem argumentationem omittamus, qua illi confisi aliquid se quod ad rem sit conficere posse existimant. Sic enim aiunt: Non potest esse tale Fatum, quin sit etiam Decretum, nec Decretum nisi et sors, nec sors, nisi et sortis distributio, nec ea nisi etiam sit lex, nec lex nisi sit recta ratio quae praecipiat quae sunt facienda, prohibeat vero quae non facienda. Sed prohibentur delicta, praecipiuntur recte facta. Non igitur est tale Fatum, nisi etiam sint peccata et recte facta; sed si sint peccata et recte facta sequitur, esse virtutem, esse vitium, quod si virtus est et vitium, est aliquid honestum, aliquid turpe. Quod autem honestum, laudabile: quod turpe, vituperabile. Non ergo sequitur si tale sit Fatum, nihil esse laudabile aut vituperabile. Atqui laudabilia digna praemio, vituperabilia supplicio digna: Quare rursum non sequitur, si tale Fatum sit, nulla fore praemia aut supplicia. At est praemium honoris attributio, poena vero emendatio. Non ergo sequitur si Fatum sit tale, nullam fore honoris attributionem nullamque emendationem. Quod si haec ita se habent, hinc consequitur, etsi Fato fiant quae fiunt, esse tamen recte facta, esse delicta, esse laudes et vituperationes, esse praemia et poenas, esse honorum attributiones et emendationes.

XXXVI.

At enim si ista dicere a rebus circumstantibus coguntur, digni sunt quibus ignoscatur: neque nos oportet sollicitos esse de iis quae illi ex necessitate dicunt, neque illos de iis qui ab ipsis dissentanea defendunt, quandoquidem et earum quae dicunt, et eorum quae sentiunt, causa est vis rerum circumstantium: nec accusandi sunt qui sic vel sic loquuntur, cum ut sic

αἰτιᾶσθαι [2]), οὐδὲν ἐις τὸ οὕτω λέγειν συντελοῦντας, ἐίγε μήτε τῶν περιεστώτων, μήτε τῆς ἕξεως, καθ᾽ ἣν ὑπὸ τῶν περιεστώτων οὕτως αὐτοὺς κινεῖσθαι συμβέβηκεν, τὴν αἰτίαν ἔχουσιν ἐν αὐτοῖς. Ἐι δὲ ἐξουσίαν ἔχομεν καὶ χεῖρόν τι καὶ βέλτιον ἐιπεῖν, τίς οὐκ ἂν αὐτῶν θαυμάσαι τὴν σύνθεσιν τοῦ λόγου ὡς πέριττην [3]) καὶ ἐξ ὁμολογουμένων καὶ ἐναργῶν συνάγουσαν τὸ μὴ δεῖν, ὧν ἦν τὸ ἄρα τῆς περὶ τοὺς συλλογισμοὺς ἀσχολίας μακρᾶς; Θέμενοι γὰρ τὸ τὴν ἑιμαρμένην χρῆσθαι πᾶσι τοῖς γεγονόσι τε καὶ γινομένους καθ᾽ ἑιμαρμένην, πρὸς τὴν ἀκώλυτον τῶν ὑπ᾽ αὐτῆς γινομένων ἐνέργειαν, οὕτως ὡς γέγονεν ἕκαστον αὐτῶν, καὶ φύσεως ἔχει, λίθῳ ὡς λίθῳ, φυτῷ δὲ ὡς φυτῷ, ζώῳ δὲ ὡς ζώῳ, ἐι δὲ ὡς ζώῳ, καὶ ὁρμητικῷ, ἐν τῷ τιθέναι τὸ χρῆσθαι αὐτὴν τῷ ζώῳ ὡς ζώῳ τε καὶ ὁρμητικῷ; καὶ γίνεσθαι τὰ ὑφ᾽ αὐτῶν διὰ τῶν ζώων γινόμενα κατὰ τὴν τῶν ζώων ὁρμὴν, ἑπομένων καὶ τούτων τῶν ἐξ ἀνάγκης περιεστώτων αὐτὰ τότε αἰτίαις [4]), ἅτινα ἂν ἡγούμενοι διὰ τοῦ τὸ [5]) καθ᾽ ὁρμὴν ἐνεργεῖν τὰ ζῶα τηρεῖν, ἐν τῷ ἅπαντα γίνεσθαι καθ᾽ ἑιμαρμένην, καὶ τὸ [6]) ἐφ᾽ ἡμῖν ἐῖναί τι τηρεῖν. Τούς τε ἄλλους οὖν ἐρωτῶσί λόγους, καὶ δὴ καὶ τὸν προειρημένον, ἐμοὶ δοκεῖ, ὡς οὐκ ἀληθεῖ πιστεύοντες τοσοῦτον αὐτῷ, ὅσον διὰ μῆκος τε καὶ πλῆθος ὀνομάτων καὶ ἀσαφῆ σύνθεσιν παράξειν [7]) ἡγούμενοι τοὺς ἀκούοντας. Ἴδωμεν δὲ τὸ λεγόμενον ἡμεῖς, καὶ [διὰ τοῦ] [8]) τὰ πολλὰ τῶν κειμένων ὀνομάτων παραιτησάμενοι τὸ νῦν, τὴν δὲ πεπρωμένην, καὶ τὴν αἶσαν, καὶ τὴν νέμεσιν ὑφελόντες, οἷς ὀνόμασιν ἐφ᾽ ὧν αὐτοῖς δοκεῖ σημαινομένων χρῶνται, ἐπὶ τῶν ἄλλων ἐξετάσωμεν. Ἄξιον γὰρ μαθεῖν τὴν ἀνάγκην τῆς ἀκολουθίας ταύτης [9])· οὐ γὰρ ἐστι μὲν τοιαύτη ἡ ἑιμαρμένη, οὐκ ἔστι δὲ νόμος [10]). Ἐι γὰρ τὰ μὲν γινόμενα καθ᾽ ἑιμαρμένην ἕπεται τοῖς ἐξ ἀνάγκης αὐτὰ περιεστῶσιν αἰτίοις, καὶ οὐχ

loquantur, nihil ipsi conferant, quandoquidem neque rerum circumstantium, neque eius animi status in quem rebus sic circumstantibus semper transmoventur, caussam in se habent. Quod si potestatem habemus et melius et peius aliquid dicendi, quis non miretur supervacuam quam illi faciunt, sermonum structuram ex confessis et evidentibus hoc colligentem, nullum esse usum longae ad argumenta nectenda sumptae operae? Nam cum ponant Fatum uti omnibus iis quae ex Fato facta sunt aut fiunt ad inevitabilem quem operatur effectum, ita ut quodque natum est et ut per naturam se habet; lapide ut lapide, planta ut planta, animante ut animante, quod si ut animante, certe ut nato motionem habere ex appetitu: quia scilicet ponunt Fatum uti animante ut animante, id autem est, ut apto moveri ex appetitu: ac fieri quae a Fato fiunt, per animantia secundum animantium motionem ex appetitu, et ea ipsa necessario sequi res circumstantes ut causas, quarum causarum ductum servare animantia operando secundum appetitus motionem. Et quia omnia Fato fiunt, etiam in nostra esse potestate id praescriptum servare. Haec cum sic dicunt et alia quae interrogando proponunt, videntur mihi id facere non tam quod vero confidant, quam ut diu trahendo in longum et multiplicando voces, et in obscurum eas implicando imponant auditoribus. Verum nos nunc quid dicant videamus, et praetereuntes multa, quae illi usurpant, nomina, ut destinatum et sortem et distributionem, quae illi quibus volunt significationibus utuntur, exquiramus caetera. Operae pretium enim est cognoscere necessitatem illius consequentiae; Fieri nequit ut tale sit Fatum et non sit lex. Nam si quae Fato fiunt, sequuntur necessario causas circumstantes,

οἷόν τε τὸν καθ' ὁρμὴν [11]) ἐνεργοῦντα μὴ ἀκολουθεῖν τούτοις τοῖς αἰτίοις, καὶ τὴν αἰτίαν τὴν ἐξ αὐτοῦ πάντως ἐκείνοις συνάπτειν [12]), ὥς τε οὐδὲ τὸν ἀπὸ ὕψους ἀφέντα λίθον μὴ κάτω φέρεσθαι, ἢ τὴν σφαῖραν κατὰ τοῦ πρανοῦς μὴ κυλίεσθαι [13]) ἀφεθεῖσαν κατ' αὐτοῦ, τίς ἔτι χρεία νόμων; ὡς γὰρ ὁ λίθος οὐκ ἂν ὑπὸ τοῦ λέγοντος μὴ δεῖν κάτω φέρεσθαι κωλυθείη ποτ' ἄν, τῷ αὐτός τε τὴν φύσιν εἶναι τοιοῦτος, τά τε ἔξωθεν αἴτια ἔχειν σύνεργα πρὸς τοῦτο, οὕτως οὐδὲ ἡμῶν τις πεισθείη ποτ' ἂν λόγῳ ἢ νόμῳ ἄλλως ἀξιοῦντι πράττειν, παρὰ τὴν τῶν περιεστώτων ἀνάγκην. Οὐ γὰρ πλέον τι ἡμῖν ἐκ τοῦ συνιέναι τῶν προστασσομένων ὑπὸ τῶν νόμων, ἔχουσι προκαταβεβλημένας αἰτίας, αἷς περιεστώσαις ἀκολουθεῖν τὴν ὁρμὴν ἀνάγκη. Οὕτω δὲ ἀναιροῖτ' ἂν τὸ ἐκ τῶν νόμων χρήσιμον, εἴγε οἱ μὲν νόμοι προστακτικοὶ μέν εἰσι τῶν ποιητέων, ἀπαγορευτικοὶ δὲ τῶν οὐ ποιητέων, οὐχ ἕπεται δὲ τῇ τῶν νόμων προστάξει τὸ καθ' ὁρμὴν [14]) ἡμᾶς ἐνεργεῖν, ὅταν τὰ περιεστῶτα αἴτια ἐξ ἀνάγκης ἡμᾶς ἐπ' ἄλλά τινα κινῇ τε καὶ φέρῃ. Ἀναιρουμένου δὲ διὰ τὴν τοιαύτην εἱμαρμένην τοῦ ἀπὸ τῶν νόμων χρησίμου, ἀναιροῖντ' ἂν καὶ οἱ νόμοι. Τί γὰρ ὄφελος [15]) νόμων, οἷς πείθεσθαι τὴν ἐξουσίαν ὑπὸ τῆς εἱμαρμένης ἀφῃρήμεθα; οὐκ ἄρα τῷ τοιαύτην εἶναι τὴν εἱμαρμένην ἕπεται τὸ νόμον εἶναι, ἐναντία γὰρ εἱμαρμένη τε καὶ νόμος, εἴγε ὁ μὲν νόμος προστακτικός ἐστι τῶν πρακτέων τε καὶ μή, ὡς τῶν πραττόντων [15 a]) δυναμένων αὐτῷ πείθεσθαι κελεύοντι, διὸ καὶ τοὺς μὴ πειθομένους ὡς ἁμαρτάνοντας ζημιοῖ, τιμῶν τοὺς πειθομένους ὡς κατορθοῦντας, ἡ δὲ εἱμαρμένη πάντα τὰ γινόμενα ἀναγκαίως τε καὶ δι' ὁμοίας αἰτίας φησὶ γίνεσθαι [16]), τῶν δὲ δι' ὁμοίας γινομένων [17]) αἰτίας οὐχ οἷόν τε τὰ μὲν ἁμαρτήματα λέγειν, τὰ δὲ κατορθώματα. Ἐι γὰρ λέγει τις καὶ τὸν νόμον ἐν τοῖς

nec fieri potest ut qui ex appetitus motione operatur, non sequatur illas causas, cum causa quae ex ipso et istis causis sit adiuncta, sicut nec de sublimi loco iactus lapis non potest non ferri deorsum, aut globus per declive deiectus non rotari, quae ultra erit legum utilitas? Sicut enim lapis nihil impedietur, si quis dicat eum non debere deorsum ferri, cum ipse natura ita sit factus, et ad id opitulentur causae externae, sic neque nostrum quisquam persuaderi poterit aut ratione aut lege, quae eum velit aliter agere, quam fert a circumstantibus necessitas. Nihil enim nobis accidet commodi ex intellectu eorum, quae legibus iubentur, si causae ante iactae sunt, quibus circumstantibus necessario trahatur motio appetitus. Ac sic tollitur omnis quae est ex legibus utilitas, si leges quidem vim habeant iubendi quae facienda sunt et vetandi quae non sunt facienda, non sequitur autem legis imperio id quod ex appetitus motione facimus, ubi circumstantes causae alio nos movent ac rapiunt. Sic autem per tale Fatum submota legum utilitate tolluntur et leges Nam utilitate legum id est libertate obediendi legibus Fatum nos spoliat. Longe ergo abest ut sequatur legem esse, ideo quod sit Fatum. Imo pugnant inter se Fatum et lex. Nam lex quid sit faciendum praecipit, tanquam ii qui agunt possint praecipienti parere, unde et sibi non parentes lex ut sontes punit, at contra obedientes afficit praemiis ut recte agentes. At fati opinio dicit omnia quae fiunt et necessario fieri, aut ex causa simili. Quae autem simili ex causa fiunt, eorum iniquum sit alia dicere delicta, alia recte acta. Nam si quis dicat etiam legem esse inter necessarias illas, et a Fato ante iactas causas, manifestum est in iis quae legi consentanea agunt, etiam legem fore

ἀναγκαίοις τε καὶ προκαταβεβλημένοις ὑπὸ τῆς εἱμαρμένης αἰτίοις εἶναι, δῆλον ὡς καὶ τοῖς πράσσουσι καθ' ὁρμὴν τὰ κατ' αὐτὸν [18]), ἐν τοῖς περιεστῶσιν αἰτίοις καὶ αὐτὸς ἔσται κατηναγκασμένος, οὐ περιστήσεται δὲ τοῖς πράττουσι τὰ μὴ κατ' αὐτόν [19]). Οἱ δὲ ταύτην τοῦ μὴ πράσσειν τὰ κατὰ τοὺς νόμους ἔχοντες τὴν αἰτίαν, πρόδηλον ὡς οὐκ ἂν ψέγοιντο (πῶς γὰρ ἄξιοι;) τὸ γοῦν [20]) ἐν τοῖς περιεστῶσι κατ' ἀνάγκην αἰτίοις, οἷς μὴ ἕπεσθαι καθ' ὁρμὴν οὐχ οἷόντε, οὐκ ἦν ἐκ τῶν νόμων αἰτία, κατ' ἀνάγκην τινὰ καὶ εἱμαρμένην παρεῖναι κεκωλυμένη. Ἀλλὰ οὕτως γε οὐδ' ἂν νόμος ἔτι εἴη, ἔχων καίπερ θεμένους αὐτὸν [21]), εἴγε χρὴ τούτῳ πείθεσθαι λέγειν ἐξ ἀνάγκης ἑπομένους, καὶ τοὺς μὴ πειθομένους ὑπὸ ἀνάγκης τινὸς πείθεσθαι κεκωλυμένους, ὥστε πολὺ ἂν ἀληθέστερον εἴη συνειλημμένον τό· Εἰ ἔστι τοιαύτη εἱμαρμένη, οὐκ ἔστι νόμος, ἀναιρουμένου δὲ νόμου, καὶ σὺν αὐτῷ ἁμαρτήματός τε καὶ κατορθώματος, ἀναιροῖτ' ἂν (ὡς καὶ αὐτοὶ διὰ τῆς ἀκολουθίας ἐλάμβανον τῆς κατὰ τὸν λόγον,) ἀρετή τε καὶ κακία, καὶ τὸ εἶναί τι ἐν ἀνθρώποις αἰσχρόν τε καὶ καλὸν, καὶ ἐπαινετόν τε καὶ ψεκτὸν, καὶ τιμῆς τε καὶ κολάσεως ἄξιον. Οὐδὲν ἄρα μένει τοῦ ὑπὸ τοῦ μετὰ τοσαύτης τέχνης ἠρωτημένου λόγου κατασκευασμένου [22]). Ἀκολουθήσει τε αὐτοῖς ἀρξαμένων κάτωθεν, ἀκολουθία, ἣν ἕπεσθαι λέγουσι τοῖς ἀναιρεῖν πειρωμένοις τὸ ἐφ' ἡμῖν εἶναι, ὡς αὐτοὶ τηροῦντες [23]) ὁμολογουμένως αὐτὸ, διὰ τὸ προβάλλειν ἄλλοις ἀφαιρεῖν αὐτὸ [24]), τῷ μὴ δοκεῖν ἔχεσθαι ὃ καὶ διαφεύγειν ἡγοῦνται [25]). Εἰ γὰρ μή εἰσι τιμαὶ, μηδὲ κολάσεις οὐδὲ ἔπαινοι, οὐδὲ ψόγοι, εἰ δὲ μὴ ταῦτα, οὐδὲ κατορθώματά τε καὶ ἁμαρτήματα, εἰ δὲ μὴ ταῦτα, οὐδὲ ἀρετὴ καὶ κακία, εἰ δὲ μὴ ταῦτα φασὶν ὅτι μηδὲ θεοί. Ἀλλὰ μὴν τὸ πρῶτον, τὸ μὴ εἶναι μήτε τιμὰς [26]) μήτε κολάσεις ἕπεται τῷ πάντα γίνεσθαι

coactam esse inter causas circumstantes: non fore autem inter causas circumstantes ei, qui non secundum legem agat. Qui vero istam habent causam, ut non secundum legem agant, evidens est immerito eos vituperari. Quomodo enim id merentur, cum inter causas necessario circumstantes, quas appetitus motio non poterat non sequi, non fuerit legis efficientia per necessitatem quandam et fatum adesse prohibita? Et sic lex, etiam si sint qui eam condant, lex non erit, si dicendum qui legem sequuntur, parere ei necessario et qui non parent, ne pareant necessitate aliqua impediri. Itaque multo verior erit illa collectio. Si tale est Fatum, iam nulla est lex, sublata autem lege, et simul delictis recteque actis, una tolletur, (ut ipsi sumunt ex vi rationis esse consequens) virtus et vitium et esse aliquid hominibus honestum ac turpe, laudabile et vituperabile, et praemio aut poena dignum. Nihil ergo illis manebit confectum argumentatione ex tanti artificii interrogationibus constructa. Quod si ab infimo inceperis, premet eos ea consequentia, qua premi aiunt eos, qui probare conantur ab ipsis tolli id quod est in nostra potestate. Nam cum aperte id fatendum dicant, alios accusent quod illud tollant; non interim vident se eo ipso teneri quod effugere se existimant. Nam si non sunt praemia nec poenae, nec laudationes quidem sunt et vituperationes. Quod si ista non sunt nec peccata sunt, nec recte acta: Quod si ista non sunt, nec virtus nec vitium. Quod si ista non sunt, dicunt ipsi ne Deos quidem esse. At illud primum nulla esse praemia nullasque poenas sequitur ex eo quod cuncta Fato fieri dicantur, ut demonstratum est. Quare illud ultimum ut abso-

καθ᾿ ἑιμαρμένην, ὡς δέδεικται. Τὸ τελευταῖον ἄρα, ὃ ἄτοπον καὶ ἀδύνατον, ἀναιρετέον [27]), τὸ πάντα γίνεσθαι καθ᾿ ἑιμαρμένην, ᾧ τοῦθ᾿ ἑίπετο [28]).

ΛΖ.

Ἴδωμεν δὲ καὶ ἐπὶ τούτῳ λόγον ἠρωτημένον, ἐι μὴ τὰς ὁμοίας ἀνάγκας ἔχει· λέγει δὲ οὕτως. Οὐ πάντα μὲν ἔστι καθ᾿ ἑιμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις, οὐδὲ ἔστι μὲν τοῦτο, οὐκ ἔστι δὲ κόσμος· οὐδὲ ἔστι μὲν κόσμος, οὐκ ἐισὶ δὲ θεοί· ἐι δέ ἐισι θεοὶ, ἐισὶν ἀγαθοὶ οἱ θεοί· ἀλλ᾿ ἐι τοῦτο, ἐστὶν ἀρετή· ἀλλ᾿ ἐι ἐστιν ἀρετὴ [1]), ἔστι φρόνησις· ἀλλ᾿ ἐι τοῦτο, ἔστιν ἡ ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων· ἀλλὰ ποιητέα μέν ἐστι τὰ κατορθώματα, οὐ ποιητέα δὲ τὰ ἁμαρτήματα, οὐκ ἄρα πᾶν μὲν γίνεται καθ᾿ ἑιμαρμένην, οὐκ ἔστι δὲ ἁμάρτημα καὶ κατόρθωμα· ἀλλὰ τὰ μὲν κατορθώματα καλὰ, τὰ δὲ ἁμαρτήματα ἀισχρὰ, καὶ τὰ μὲν καλὰ ἐπαινετὰ, τὰ δὲ κακὰ ψεκτά. Οὐκ ἄρα πάντα μέν ἐισι καθ᾿ ἑιμαρμένην, οὐκ ἔστι δὲ ἐπαινετὰ καὶ ψεκτὰ, ἀλλ᾿ ἐι τοῦτο, ὀυκ ἐισιν ἔπαινοι καὶ ψόγοι· ἀλλ᾿ ἃ μὲν ἐπαινοῦμεν, τιμῶμεν, ἃ δὲ ψέγομεν, κολάζομεν, καὶ ὁ μὲν τιμῶν γεραίρει, ὁ δὲ κολάζων ἐπανορθοῖ. Οὐκ ἄρα πάντα μὲν γίνεται καθ᾿ ἑιμαρμένην, οὐκ ἔστι δὲ γεραίρειν καὶ ἐπανορθοῦν. Καὶ οὗτος δὴ ὁ λόγος ἀπὸ τῆς αὐτῆς παλαίστρας ὢν δῆλον ὡς διὰ τῶν ἀυτῶν ἂν ψευδὴς ὢν ἐλέγχοιτο. Πρῶτον μὲν γὰρ τίς συγχωρήσει προχείρως τὸ· οὐ πάντα μέν ἐστι καθ᾿ ἑιμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις, ἐν τῷ γίνεσθαι τὰ μὲν ἐξ ἀνάγκης, τὰ δὲ ἐνδεχομένως, καὶ τούτων τὰ μὲν κατὰ φύσιν [3]), τὰ δὲ κατὰ προαίρεσίν τε καὶ λόγον, τὰ δὲ καθ᾿ ὁρμὴν, τὰ δὲ ἀπὸ τύχης καὶ ἀυτομάτως· ἀναιρεῖται δὲ πάντα τὰ ἀυτὰ [3 a]) ὑπὸ τῆς ἑιμαρμένης, οὐκ ἄρα ἀνεμπόδιστος [4]) ὀυδε ἀκώλυτος ἡ τοῦ κόσμου διοίκησις μένοι [5]).

num et quod fieri non possit, negandum est, nempe cuncta Fato fieri, unde caetera illa sequebantur.

XXXVII.

Videamus autem et alterum nexum interrogationum quem faciunt, et annon eundem exitum habeat. Is talis est: Si non Fato fiunt omnia, non est mundi gubernatio talis, quae prohiberi impedirique nequeat. Quod si hoc ita se habet, non est Mundus, si Mundus non est, nec Dii sunt. Si vero Dii sunt, sunt boni. Si boni sunt, est virtus. Si est virtus, est et prudentia. Si est prudentia, est ergo cognitio rerum faciendarum et non faciendarum. Faciendae autem sunt actiones, quae recte se habent; non faciendae vero eae, in quibus peccatum est. Sequitur ergo nisi Fato fiant omnia, nihil recte fieri, nihil peccari. At quae recte fiunt honesta, peccata turpia: honesta vero laudabilia, mala vituperabilia. Sequitur ergo, nisi Fato fiant omnia, nihil esse quod sit laudabile et vituperabile. Atqui sunt laudationes et vituperationes. Et quae laudamus praemio afficimus; quae vituperamus ea punimus et qui praemium dat, honore afficit; qui punit, emendat. Cohaeret ergo omnia Fato non fieri, et nullas esse tributiones honorum et castigationes. Hic ergo sermo ex eadem desumtus palaestra per eadem quae diximus, falsi convincetur. Primum enim quis facile concesserit illud: Nisi Fato fiant omnia non est Mundi gubernatio, quae prohiberi impedirique nequeat? Fiunt enim quaedam ex necessitate, quaedam eventu ambiguo, et horum quaedam per naturam, quaedam ex dilectu et ratione, quaedam appetitus motione: quaedam aut forte fortuna aut casu. Haec autem omnia per unum Fatum tolluntur. Non ergo manet iam Mundi gubernatio inprohibita et minime

Ἀλλ᾽ ἐι συγχωρηθείη τοῦτό τε καὶ τὸν κόσμον ἐῖναι [6]). καὶ τοῦ κόσμου ὄντος, θεούς· (καί τοι κατ᾽ Ἐπίκουρον ἐκτὸς ὄντας αὐτοῦ) [7]) καὶ τοῦς θεοὺς ἀγαθοὺς ἐῖναι, ἐι δὲ καὶ [8]) τὸ ἀρετὴν ἐῖναι τοῖς θεοῖς ἑπόμενον, πῶς τῷ τὴν τῶν θεῶν ἀρετὴν ἐῖναι, ἕποιτ᾽ ἂν τὸ ἐῖναι φρόνησιν; τίς γὰρ ἡ τῆς ἀκολουθίας ταύτης ἀνάγκη; Ἐι μὲν γὰρ ἦν ἐιλημμένον τὸ, τὴν ἀνθρώπων ἀρετὴν ἐῖναι, ἕποιτ᾽ ἂν τούτῳ καὶ ἡ φρόνησις· Ἐπεὶ δ᾽ ἐκ τῶν κειμένων ἐίληπται τὸ τὴν τῶν θεῶν ἀρετὴν ἐῖναι [9]), πῶς ἂν ἔτι ἕποιτο τῇ τῶν θεῶν ἀρετῇ φρόνησις; οὐ γὰρ τὰς αὐτὰς ἀρετὰς οἱόν τε λέγειν ἐῖναι τῶν τε ἀνθρώπων καὶ τῶν θεῶν, ὀύτε γὰρ ἄλλως ἀληθὲς τὸ τὰς τῶν τοσοῦτον [10]) ἀλλήλων κατὰ τὴν φύσιν διεστώτων τὰς αὐτὰς τελειότητάς τε καὶ ἀρετὰς λέγειν· οὐθ᾽ οἱ πρὸς αὐτῶν περὶ αὐτῶν λεγόμενοι λόγοι, οὐθ᾽ ἐύλογόν τι [11]) ἐν αὐτοῖς ἔχουσιν. Ἀνθρώπου δὲ ἡ φρόνησις ἀρετὴ, ἥ ἐστιν, ὡς φασὶν, ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων, ἐν οἷς γὰρ οἱόν τε μὴ πραχθῆναί [12]) τι καὶ τῶν ποιητέων, ἐν τούτοις ἡ τῶν ποιητέων καὶ οὐ ποιητέων ἐπιστήμη χώραν ἔχει. Ἀλλὰ μὴν πάντων γινομένων καθ᾽ ἑιμαρμένην ἄχρηστος ἡ γνῶσις τῶν ποιητέων τε καὶ μή· τί γὰρ ὄφελος τῆς τοιαύτης γνώσεως τοῖς μηδὲν ὧν πράττουσι φυλάξασθαι δυναμένοις; Ἐι δὲ μηδὲν ἡ τούτων ἐπιστήμη χρήσιμον, ἀναιροῖτ᾽ ἂν ἡ φρόνησις· ὡς ἐῖναι τὴν ἀκολουθίαν ἀληθεστέραν τὴν, ἐι ἔστιν ἑιμαρμένη, μὴ ἐῖναι φρόνησιν. Καθ᾽ ὃν γὰρ λόγον ὁ νόμος ἀνῃρεῖτο, κειμένης τῆς ἑιμαρμένης, κατὰ τοῦτον ἀναιρεθήσεταί καὶ φρόνησις, ἧς ἀναιρουμένης δῆλον ὡς καὶ τῶν ἄλλων ἕκαστον ἀναιροῖτ᾽ ἂν καὶ [13]) τῶν κατὰ τὴν ἀκολουθίαν τὴν πρὸς φρόνησιν τιθεμένων.

ΛΗ.

Ὅτι δὲ μηδὲ οἱ ἐκ τοῦ δεικνύναι τὴν καθ᾽ ὁρμὴν κίνησιν τοῖς ζώοις μένουσαν πάντων γινομένων καθ᾽ ἑιμαρμένην σώζουσι τὸ ἐφ᾽ ἡμῖν (ἐι μὴ βούλοιτό τις ἁπλῶς

impedita. Quod si hoc etiam condonetur et esse Mundum, et eo posito, esse Deos (quanquam ex Epicuri sententia Dii extra Mundum sunt,) et Deos esse bonos, et inde sequatur esse Diis virtutem, quomodo ex eo, quod aliqua sit Deorum virtus, colligent esse et prudentiam? Quae enim huius coniunctionis necessitas? Nam si positum sit esse hominum aliquam virtutem, recte inde inferretur esse et prudentiam? Cum vero ex antedictis collectum fuerit, esse aliquam Deorum virtutem, quomodo ex Deorum virtute consequetur prudentia, quae est virtus humana? Neque enim dicere possumus easdem esse virtutes Deorum hominumque: nec enim in Diis etiam verum est eorum quae tam multum distant suapte natura, easdem esse consummationes atque virtutes, nec quae illi de his rebus dicunt, probabile aliquid continent. Est autem humana virtus prudentia: Est enim, ut et ipsi aiunt, scientia faciendorum et non faciendorum. Si enim fieri potest ut aliquid non agatur eorum quae facienda sunt, locum habet ista scientia faciendorum et non faciendorum. At si cuncta Fato fiant, inutilis est scientia faciendorum et non faciendorum. Qui enim talis scientia utilis eis, qui nihil eorum quae agunt, vitare possunt? Quod si scientia illa ad nihil est utilis, tollitur iam prudentia: ita ut multo melior sit ista consequentia: si est Fatum, non esse prudentiam. Nam quomodo lex tollitur Fato admisso, eodem modo tollitur et prudentia. Qua sublata sequitur, ut tollantur et alia illa, quae posita prudentia poni ab illis statuuntur.

XXXVIII.

Iam vero quod illi non eo quod ostendunt manere animantibus ex appetitu motionem, etiamsi omnia Fato fiant, ob id relinquunt nobis id quod in nostra est po-

τὸ ὑπό τινος κατὰ τὴν οἰκείαν γινόμενον φύσιν, ἐπ' ἐκείνῳ λέγειν, ἄλλο τι σημαινόμενον τοῦ ἐφ' ἡμῖν εἰσάγων [1]), παρὰ τὸ πεπιστευμένον τε καὶ προειλημμένον, ὃ φαμὲν εἶναι διὰ τὸ ἔχειν ἡμᾶς ἐξουσίαν τῶν ἐν τοῖς πραττομένοις ἀντικειμένων φθάνει διὰ τῶν πρώτων πλεονάκις εἰρῆσθαί τε καὶ δεδεῖχθαι. Παραπλήσιοι δὲ τούτοις καὶ ὅσοις ἄλλοις εἰς σύστασιν τοῦδε τοῦ δόγματος λόγοις παρατίθενται, ἐπὶ πλέον καὶ μέχρι ῥημάτων τὴν κομψείαν ἔχοντες, οὐκ ἐκ τῆς πρὸς τὰ πράγματα περὶ ὧν λέγονται, συμφωνίας τὴν πίστιν λαμβάνοντες.

ΛΘ.

Ταῦτα ὑμῖν [1]), ὦ θειότατοι αὐτοκράτορες, τῆς Ἀριστοτέλους δόξης περί τε εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν κατ' ἐμὴν δόξαν, τὰ κεφάλαια, καθ' ἣν δόξαντες εἴς τε θεοὺς εὐσεβήσομεν, τὰ μὲν εἰδότες αὐτοῖς χάριν, ἀνθ' ὧν φθάνομεν ὑπ' αὐτῶν εὖ πεπονθότες, τὰ δὲ αἰτούμενοι παρ' αὐτῶν ὡς ὄντων καὶ τοῦ δοῦναι καὶ τοῦ μὴ κυρίων [2]). Ἐσόμεθα δὲ περί τε ὑμᾶς [3]) καὶ περὶ τοὺς ὑμῖν ὁμοίους ἄρχοντας εὐχάριστοι [4]), ταῦτα πράττοντας εἰς ὑμᾶς [5]), ἃ ποιεῖ ὑμῶν οἰκεία προαίρεσις [6]) πράττειν ὑμᾶς, αἱρέσει τοῦ βελτίονος καὶ τῷ περὶ τὴν κρίσιν αὐτοῦ φροντίζειν ποιοῦντας ἃ ποιεῖτε, ἀλλ' οὐ προκαταβεβλημένοις τισὶν αἰτίοις ἑπομένους, οἷς ἀναγκαῖον ἕπεσθαι [7]), ᾗ ἂν ἐκεῖνα ἄγῃ. Ποιησόμεθα δὲ καὶ ἀρετῆς ἐπιμέλειαν, ὡς ὄντες αὐτοὶ κύριοι τοῦ βελτίους ἢ χείρους γενέσθαι. Τούτων γὰρ μόνον κύριός τις, ὧν καὶ τοῦ μὴ πράττειν αὐτὸς [8]) ἔχει τὴν ἐξουσίαν, καὶ τὰ ἄλλα δὲ, ὅσα πράττομεν κατὰ τὸν βίον, ὅτι μόνως εὐλόγως πράττειν ἂν [9]) δοκοῖμεν, εἰ κατὰ τὴν Ἀριστοτέλους δόξαν περὶ αὐτῶν [10]) ἀποδιδοίημεν τὰς αἰτίας, διὰ [11]) παντὸς ἐπειράθην ὑμῖν παραστῆσαι [12]) τοῦ λόγου.

---

testate, (nisi quis velit omnino quicquid ab aliquo secundum suam naturam fit, dicere esse in eius potestate, inducens novam significationem eius quod est in potestate, diversam ab ea quae creditur, quaeque in anticipata est opinione, quam nos hanc dicimus, habere nos libertatem in rebus agendi contraria) apparet ex praecedentibus saepe a nobis et dictum esse et probatum. Huic autem sermoni similes sunt et alii, quos ad defensionem sui dogmatis promunt. Habent enim plerique quandam intra verba stantem argutiam, sed non fidem sibi adstruunt ex consonantia cum rebus, de quibus sermones isti sunt instituti.

XXXIX.

Haec sunt, divinissimi Imperatores, Aristotelicae sententiae de Fato et de libertate volendi, ut ego quidem arbitror, praecipua capita, secundum quae sentientes, pii erimus adversus Deos, partim gratias illis agentes pro bonis quae illi in nos contulere: partim poscentes alia ab ipsis, ut qui dandi et non dandi sint domini. Erimus etiam grati adversus vos et principes tales quales vos estis, persuasi ea vos pro nobis agere, quae ex vestro proficiscuntur dilectu praeferente id quod est melius et curam sumente id diiudicandi, non autem tractos anteiactis quibusdam causis, quas ducentes sequamini inevitabiliter. Impendemus etiam studium virtuti, ut qui libertatem habemus, per quam aut meliores aut peiores evadamus. Horum enim solummodo quisquam et dominus, quae et non faciendi habet libertatem: Et alia omnia quae cum rationis usu agimus, ita demum agere sicut oportet, si ex Aristotelis sententia causas actionum reddamus, hoc est quod per omnem hunc sermonem conatus sum vobis ostendere.

ΤΟΥ ΑΥΤΟΥ
ΠΕΡΙ ΤΥΧΗΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ
ἐκ τῶν περὶ ψυχῆς.

(*Ex Codice Havniensi Fabriciano.*)

ΜΖ.
Περὶ τύχης.

Τύχη δὲ καὶ τὸ αὐτόματον ὅτι μέν ἐστιν ἐν τοῖς οὖσιν, ἱκανὴ περὶ αὐτῶν ἡ κοινὴ τῶν ἀνθρώπων πρόληψις μαρτυροῦσα. Τί δὲ ποτέ ἐστιν ἑκάτερον αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων, οὐκέθ' οἱ πολλοὶ τῆς τῶν δεδογμένων διδασκαλίας κύριοι [1]). Οὔτε γὰρ ἑαυτοῖς οὔτε ἀλλήλοις συμφωνοῦσι περὶ τῶνδε, συμφωνοῦντες ἐν τῇ περὶ τοῦ εἶναι ἑκάτερον δόξῃ. Ἄξιον τοίνυν ἐπιστῆσαι, τίς ποθ' ἡ φύσις αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων γίγνεται. Δοκεῖ τοίνυν ἐν τοῖς αὐτοῖς αἰτίοις καὶ ταῦτα καταριθμεῖσθαι· καὶ γὰρ ἡ τύχη αἰτία δοκεῖ τῶν γιγνομένων ἀπὸ τύχης, καὶ τὸ αὐτόματον τῶν τοιούτων. Ὄντων τοίνυν αἰτίων τεττάρων [2]), περὶ ὧν πολλάκις ἡμῖν λέγειν ἔθος, τοῦ τε ὑλικοῦ καὶ τοῦ κατὰ τὸ εἶδος, καὶ τοῦ ποιητικοῦ, καὶ τοῦ τέλους, ἐν τούτοις ἀνάγκη καὶ τούτων ἑκάτερον εἶναι, εἴ γε ἐστὶν αἰτία. Ὡς μὲν οὖν ὕλην τὴν τύχην οὐδεὶς ἂν αἰτιάσαιτο τῶν γιγνομένων δι' αὐτά· οὐ γὰρ ὑποκείμενόν τι ἡ τύχη σχηματιζόμενόν τε καὶ εἰδοποιούμενον ὑπό τινος ὡς ὕλη [3])· ὑπομένουσα γὰρ αὐτὴ δέχεται τὸ εἶδος, καὶ ἔστιν αἰτία τῶν γιγνομένων ὡς ἐνυπάρχουσα τοῖς ἐξ αὐτῆς γεγο-

EIUSDEM
DE FORTUNA ET DE FATO
ex Libro II. de anima. Cap. XLVII. et XLVIII.

(*Interprete Angelo Caninio Anglariensi.*)

XLVII.
De Fortuna.

Fortunam et casum inter entia connumerari satis testari potest communis omnium hominum, quae de ipsis habent anticipatio. Quid vero sit utrumque eorum, et circa quae entia versetur, multitudo doctorum accuratius definire hactenus non potuit. Neque enim secum ipsi neque cum aliis conveniunt de his, cum tamen esse utrumque eorum communi sententia fateantur. Discutiendum igitur et perpendendum est, quaenam utriusque natura sit, es circa quas res fiant. Videntur itaque haec quoque inter causas connumerari. Nam et Fortuna videtur esse causa eorum quae à fortuna et casus eorum quae a casu fiunt. Cum igitur causae quatuor sint, de quibus saepe disserere solemus, materialis, formalis, effectiva et finis, in his necesse est utrumque eorum esse, si modo causae sunt. Fortunam itaque et casum tanquam materiam rerum quae per ipsa fiunt causas esse, nullus (arbitror) affirmabit. Nam Fortuna non est subiectum quoddam effiguratum et formatum ab aliquo, ut materia, quae manens et subsistens formam accipit, et est causa eorum quae

νόσιν. Ἡ δὲ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς δι' αὐτὰ γιγνομένοις οὐκ ἐστιν ἐνύπαρχον· τὸ γὰρ αὐτὸ τοῦτο γιγνόμενον κατὰ τύχην, οὐκ ἔχει τὴν τύχην ἐν αὐτῷ· διὰ ταῦτα δὲ οὐδ' ὡς εἶδός τε καὶ τὸ τί ἦν εἶναι [4]) αἴτια ταῦτα τοῖς δι' αὐτά· τὸ μὲν γὰρ εἶδος ἐνυπάρχει τῷ οὗ αἰτιόν ἐστι, γιγνόμενον ἐν τῇ ὕλῃ καὶ μένον, τούτων δὲ οὐδέτερον. Ἀλλὰ μὴν οὐδ' ὡς τέλος καὶ τὸ οὗ ἕνεκεν αἴτιον ἡ τύχη τε καὶ τὸ αὐτόματον· οὐδενὶ γὰρ τῶν γιγνομένων ἡ τύχη σκοπός· ἑκάστῳ μὲν γὰρ τῶν γιγνομένων ἕνεκέν τινος ὡρισμένος ὁ σκοπὸς, ἀόριστον δὲ τούτων ἑκάτερον. Ἀλλὰ μὴν εἰ ἐν μηδενὶ τῶν τριῶν αἰτίων τούτων ἐστὶν ἡ τύχη, ἢ οὐδενός ἐστιν αἰτία, ἢ εἴη ἂν ἐν τοῖς ποιητικοῖς. Καὶ μὴν τὰ ποιητικὰ αἴτια τινὸς ἕνεκεν ποιεῖ τὰ γιγνόμενα πρὸς αὐτῶν, καὶ ἔστιν αὐτοῖς ὡρισμένον τὶ τέλος προκείμενον, ὥσπερ ἥ τε φύσις, καὶ ἡ τέχνη [5]), καὶ ἡ προαίρεσις, οὐδενὶ τε τούτων ταὐτὸν, οὔτε τὸ αὐτόματον, οὔτε ἡ τύχη. Ἄλλο γάρ τι παρὰ ταῦτα τούτων ἑκάτερον εἶναι δοκεῖ. Καὶ τὰ μέν ἐστιν ὡρισμένα, καὶ ἐφ' ὡρισμένον ἄγει τί· ἄστατον [6]) δὲ καὶ ἀόριστον τὸ τῆς τύχης. Εἰ δὴ δοκεῖ μὲν αἴτια τινῶν εἶναι, μηδενὶ δέ ἐστι τῶν αἰτίων ταὐτὰ, κινδυνεύει ἢ μηδ' ὅλως εἶναι, ἢ ἄλλός τις αἰτίων τρόπος ζητητέος. Μηδὲ ὅλως μὲν οὖν λέγειν εἶναι αὐτὰ, ἄτοπον, πράγματα τοσαύτην ἰσχὺν ἐν τοῖς οὖσιν ἔχειν πεπιστευμένα· ἄλλος δέ τίς ποτ' ἂν εἴη παρὰ τοὺς προειρημένους τρόπους [7]) αἰτίων; Μήποτ' οὖν, ἐπεὶ [8]) τῶν αἰτίων τὰ μέν ἐστι καθ' αὑτὰ, τὰ δὲ κατὰ συμβεβηκός· ἔστι γάρ τινα καὶ κατὰ συμβεβηκὸς αἴτια· τὸ γὰρ τῷ καθ' αὑτὸ καὶ κυρίως αἰτίῳ τινὸς συμβεβηκὸς, κατὰ συμβεβηκὸς αἴτιον, καὶ αὐτὸ τοῦτο προηγουμένως ἦν αἴτιον, ᾧ τοῦτο συμβεβήκει. Ὁ μὲν γὰρ ἰατρὸς αἴτιον [9]), καθ' αὑτὸ τῆς ὑγιείας, ὁ δὲ λευκὸς κατὰ συμβεβηκὸς, εἰ εἴη τῷ ἰατρῷ τοῦτο συμβεβηκός· τὸ γὰρ συμβεβηκὸς τῷ ποιοῦντι ποιητικὸν αἴτιον κατὰ

fiunt, tanquam exsistens in iis quae ex ipsis efficiuntur. Fortuna vero et casus in iis quae per ipsa fiunt, non exsistunt: id enim quod per fortunam efficitur, non habet in se fortunam. Et igitur neque ut forma, et id quid erat esse causae sunt iis quae per ipsa fiunt. Forma enim inest in eo cuius causa est, et fit in materia et manet: horum autem neutrum. Atque neque ceu finis et id cuius causa, Fortuna et casus causae esse possunt: Nulli enim eorum quae gignuntur Fortuna scopus est. Unicuique enim eorum quae fiunt, finitus ac certus scopus est, horum autem utrumque indefinitum est. Atqui si in nulla harum trium causarum Fortuna consistere potest, aut nullius rei causa est, aut certe inter effectivas ponenda erit. Verum causae effectivae alicuius rei causa faciunt ea quae ab ipsis fiunt, atque est ipsis certus quidam ac definitus finis propositus, ceu natura et ars atque electio. Sed nihil horum idem cum fortuna et casu est. Aliud enim quiddam utrumque horum esse videtur et ab illis diversum. Praeterea illa definita ac certa sunt, et ad aliquam rem definitam ac certam ducunt. Fortuna vero varia, incerta et instabilis est. Si igitur aliquarum rerum causae esse videntur, nec cum ulla ex causis conveniunt, aut penitus nihil sunt, aut certe alius causarum modus quaerendus est. At ea omnia non esse si quis asserat, absurde id faciet, cum res sint quae tantum in entibus posse creduntur. Qui vero potest esse alius praeter praedictos causarum modos? Nam igitur in causis aliae sunt per se, aliae per accidens? Sunt enim quaedam causae quoque per accidens. Id enim quod causae per se et proprie alicuius accidit, causa per accidens est, et ipsum eius praecipue ac principaliter causa erat, cui hoc contigerat. Medicus quippe causa est per se sanitatis, albus vero

συμβεβηκός· ἔτι γὰρ κατὰ συμβεβηκὸς ὁ ἰατρὸς ποιητικὸν ἰσχνότητος φέρε εἰπεῖν [10]) ἂν τῷ ὑγιαζόμενῳ τοῦτο ᾖ συμβεβηκός. Ἐπεὶ τοίνυν ἐστὶ τῶν αἰτίων τὰ μὲν καθ᾽ αὑτὰ, τὰ δὲ κατὰ συμβεβηκὸς, καὶ ἐν τοῖς καθ᾽ αὑτὰ αἰτίοις οὐχ οἷόν τε τιθέναι τὴν τύχην, ἐν τοῖς κατὰ συμβεβηκὸς ἂν εἴη· τὰ μὲν γὰρ ὡρισμένα οὐ κατὰ συμβεβηκὸς ἂν εἴη· τὰ δὲ κατὰ συμβεβηκὸς ἀόριστα τε καὶ ἄστατα, ὁποῖον καὶ τὸ τῆς τύχης εἶναι φιλεῖ· ἀόριστα γὰρ τὰ τῷ καθ᾽ αὑτὸ καὶ κυρίως αἰτίῳ συμβεβηκέναι δυνάμενα ἅπαντα, καὶ αὐτὰ κατὰ συμβεβηκὸς αἴτια γίγνεται. Ἀλλ᾽ εἰ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, δεῖ τινι τῶν κυρίως αἰτίων λεγομένων αὐτὴν συμβεβηκέναι. Ἐπεὶ οὖν δοκεῖ ποιητικὸν εἶναί τινος ἡ τύχη (τὰ γὰρ κατὰ τύχην ἀπὸ τύχης φασὶ γίγνεσθαί τε καὶ γεγονέναι,) τῶν ποιητικῶν αἰτίων τινὶ ταῦτα ὑπάρχειν ἀνάγκη, εἴγε φυλάξει τὴν χώραν τῶν αἰτίων. Ἀλλὰ μὴν τὰ κυρίως αἴτια ποιητικὰ φύσις τε καὶ τέχνη καὶ προαίρεσις· πάντα μὲν γὰρ τὰ κυρίως ὡρισμένα [11]) ποιητικὰ, ἕνεκά τινος τέλους τὰ πρὸς αὐτῶν γιγνόμενα ποιεῖ. Ὁρῶμεν δὲ πάντα τά τινος ἕνεκεν γιγνόμενα, ὑπὸ τούτων γιγνόμενά τινος· τούτων ἄρα τινὶ συμβέβηκεν ἡ τύχη. Ἐπεὶ δὲ δοκεῖ ἐν τοῖς προαιρετικοῖς εἶναι τὰ κατὰ τύχην, (ταῦτα γὰρ ἀπὸ τύχης γίγνεσθαι φασὶν, ὧν χάριν κἂν προελοίμεθά τι πρᾶξαι πρὸς τὸ τυχεῖν αὐτῶν, ἐφ᾽ ὧν τὴν εὐτυχίαν λέγομεν, ἢ πρὸς τὸ μὴ πρᾶξαι, ὧν τὴν δυστυχίαν κατηγοροῦμεν·) εἴη ἂν ἡ τύχη τοῖς κατὰ προαίρεσιν γιγνομένοις ἑπόμενον, καὶ ἐν τούτοις αἰτία κατὰ συμβεβηκός. Ὅταν γὰρ πράττουσί τι κατὰ προαίρεσιν ἡμῖν ἀπαντήσῃ μὴ τὸ προκείμενον τέλος κατὰ τὴν προαίρεσιν, ἄλλο δέ τι κατὰ συμβεβηκὸς γένηται, ἡ κατὰ προαίρεσιν γενομένη πρᾶξις αἰτία τοῦ ἀπαντήσαντος μὲν, οὐ προκειμένου δέ. Λέγομεν δὲ τοῦτο ἀπὸ τύχης γεγονέναι· τῷ τε γὰρ σκάπτοντι κατὰ προαίρεσιν τοῦ φυτεῦσαι

per accidens, si id medico accidens fuerit. Praeterea per accidens medicus est causa effectiva gracilitatis, exempli causa, si illi qui curatur, id accidens fuerit. Quum igitur causarum quaedam per se, quaedam per accidens, et inter causas per se poni non potest ipsa Fortuna, reliquum est ut ad causas per accidens revocetur: quae enim finita ac fixa sunt, per accidens esse non possunt: quae autem per accidens, indefinita atque instabilia sunt, cuiusmodi Fortuna quoque esse solet. Indefinita enim quae causae per se et proprie sic dictae accidere possunt, omnia et ipsa causae per accidens fiunt. Sed si Fortuna est causa per accidens, oportet ut alicui causarum, quae proprie dicuntur, accidat. Quum igitur Fortuna alicuius rei effectiva causa esse videtur (quae enim per Fortunam sunt, a Fortuna dicimus fieri et facta esse) certe opus est, ut in aliqua effectivarum causarum insit, si modo locum causarum servatura sit. Atqui causae proprie effectivae sunt natura, ars et propositum sive electio; omnia enim, quae proprie finite ac certe effectiva sunt, gratia alicuius finis ea, quae ab ipsis fiunt, efficiunt. Sed videmus omnia quae alicuius rei causa fiunt, ab aliquo horum fieri: Horum igitur alicui accidit ipsa Fortuna. Quum vero in rebus voluntariis videtur esse Fortuna (ea enim a Fortuna fieri dicimus, quorum gratia si statuerimus agere aliquid, ut ea assequamur, in quibus bonam Fortunam dicimus, aut si non assequamur, de quibus malam Fortunam praedicamus). Fortuna itaque hominis voluntatem ac propositum sequetur, et in his causa erit per accidens. Quoties enim nobis aliquid ex proposito agentibus, non propositus finis occurrat, ut volebamus, sed aliud quid per accidens fiat, actio illa ex proposito causa est eius quod occurrit, sed non propositi, tunc dici-

χάριν ἂν ἀπαντήσῃ ἐκ τοῦ σκάπτειν ϑησαυροῦ τινος εὕρεσις, ἀπὸ τύχης φαμὲν τὴν εὕρεσιν τοῦ ϑησαυροῦ γεγονέναι· οὐκ ἀπὸ τύχης δὲ, ει τούτου χάριν ἔσκαπτεν. Τότε μὲν γὰρ ἦν οὐ κατὰ συμβεβηκὸς τὸ σκάπτειν τῆς εὑρέσεως αἴτιον, ὥσπερ οὐδὲ τὸ φυτεῦσαι· νῦν δὲ κατὰ συμβεβηκὸς, οὐ γὰρ τούτου χάριν ἐγίγνετο. Ἡ γοῦν τύχη ἐστὶ τὸ κατὰ προαίρεσιν γιγνόμενον, ὅταν αἴτιόν τινος γένηται κατὰ συμβεβηκὸς, ἀορίστῳ [13]) δὲ ἀεὶ αἴτιον οὕτως τὸ τινὸς χάριν γιγνόμενον γίγνοιτο, καὶ εἴη ἂν ἡ τύχη αἰτία κατὰ συμβεβηκός· οὐχ ἁπλῶς δὲ, ἀλλ᾽ ἐν τοῖς ποιητικοῖς τοῖς ἕνεκά του γιγνομένοις, καὶ τούτων ἐν τοῖς κατὰ προαίρεσιν. Οὐ γὰρ λέγομεν τὸ ἀπὸ τύχης ἐν τοῖς κατὰ φύσιν γιγνομένοις, ὅταν ἄλλο τι παρὰ τὸν τῆς φύσεως σκοπὸν γένηται, ὥσπερ τὰ τέρατα· καὶ γὰρ τούτων ἐστὶ μὲν τὸ φύσει γιγνόμενον κατὰ συμβεβηκὸς αἴτιον· οὐ μὴν τύχης τοῦτο. Ἀλλ᾽ οὐδ᾽ ὧν τὰ κατὰ τέχνην γινόμενα κατὰ συμβεβηκὸς αἴτια γένηται, ὡς ἐπὶ τῇ τῶν διαστρόφων [14]), οὐδὲ ἐπὶ τούτων ἡ τύχη τὴν αἰτίαν ἔχει. Ἐν τοῖς κατὰ προαίρεσιν ἄρα, ὡς ἔφαμεν. Ὅταν μὲν οὖν τὸ γιγνόμενον κατὰ προαίρεσιν δεξιοῦ τινος κατὰ συμβεβηκὸς αἴτιον γένηται, ὡς τὸ σκάπτειν τῆς εὑρέσεως τοῦ ϑησαυροῦ, ἐυτυχίαν τοῦτο λέγομεν, ὅταν δὲ φαύλου, δυστυχίαν· οἷον ει σκάπτων ὑπό τινος ἑρπετοῦ [15]) δηχϑείη τις ἐν αὐτῷ τῷ σκάπτειν εὑρεϑέντος, οὐκ ὄντος ἐπιτηδείου τηνάλλως τοῦ τόπου πρὸς ἑρπετὰ τοιαῦτα· ει γὰρ πλήϑους ὄντος ἑρπετῶν ὅδε ὤρυττεν ἀπερισκέπτως, οὐ τύχη τούτῳ τῆς πληγῆς αἴτια, ἀλλ᾽ ἀβουλία τις οἰκεία καὶ ἀπρονοησία. Καὶ τὸ μὲν τῆς τύχης τοιοῦτόν τε καὶ οὕτως αἴτιον, τὸ δὲ αὐτόματον εἴωϑε μὲν καὶ ἐπὶ [16]) τῶν ἀπὸ τύχης γιγνομένων κατηγορεῖσϑαι, οὐ μὴν ἀλλὰ μᾶλλον ἐπὶ τῶν φύσει. Ὅταν γὰρ τῷ γενομένῳ φύσει ἄλλο τι ἐπακολουϑήσῃ, ἀλλὰ μὴ οὗ χάριν ἐγίγνετο, αὐτομάτως τοῦτο λέγομεν

mus id per Fortunam factum esse. Fodienti enim agrum ex proposito plantandi gratia, si ex fossione occurrat thesauri alicuius inventio, a Fortuna dicimus inventionem thesauri factam esse: non tamen a Fortuna, si eius rei causa fodiebat. Tum enim non per accidens ipsa fossio inventionis thesauri causa esset, quemadmodum neque ipsa plantatio: nunc vero est per accidens; non enim huius rei gratia fiebat. Fortuna igitur est id quod ex proposito et voluntate fit, cum causa alicuius rei fiat per accidens; indefiniti enim semper causa est. Atqui ita id quod alicuius gratia fit, fieri poterit, et erit Fortuna causa per accidens, non simpliciter tamen, sed in effectivis, quae alicuius rei gratia fiunt, et quae ex proposito fiunt. Non enim dicimus a Fortuna in iis quae a natura fiunt, quoties aliud quid praeter naturae scopum gignatur, ut monstra. Quin etiam ne in iis quidem, quorum, quae ex arte fiunt, causae per accidens fiunt, ut v. c. in dissonantiis; neque in iis inquam Fortuna causa est. Fortuna igitur est in iis quae ex proposito fiunt. Quoties itaque id quod ex proposito fit alicuius rei laetae et felicis causa per accidens fuerit, ut fossio inventionis thesauri, bonam fortunam id vocamus; cum rei malae causa exstiterit, infortunium, velut si quis inter fodiendum ab aliquo serpente ictus fuerit, qui inter fodiendum inventus sit, cum alioqui is locus a serpentibus infestari non soleret: si enim, cum ibi esset serpentium copia, hic inconsiderate foderit, non est Fortuna ictus horum causa, sed illius improvida temeritas. Et Fortuna quidem eiusmodi causa est. Casus autem solet etiam in iis, quae a Fortuna fiunt praedicari, veruntamen potius in rebus naturalibus. Quoties enim rei quae natura fit, aliud quid occurrat, non id, cuius gratia fiebat, et temere et casu id fa-

γεγονέναι, ὥςπερ τὰ τέρατα. Ὅταν γὰρ μὴ οὗ χάριν τέλους γίγνεται [17]), τὸ γιγνόμενον φύσει γένηται, μάτην καὶ αὐτὸ λέγομεν γεγονέναι, καὶ τὸ ἐπακολουθῆσαν αὐτῷ, ὅτι κατὰ συμβεβηκὸς αἴτιον τὸ μάτην γεγονός ἐστιν [18]), αὐτομάτως φαμὲν γεγονέναι· καὶ ἁπλῶς πᾶν τὸ τῷ κατὰ φύσιν γιγνομένῳ ἐπακολουθῆσαν, οὐκ ὃν οὗ χάριν ἐγίνετο, αὐτομάτως λέγεται γεγονέναι. Οὕτως ὁ κατενεχθεὶς λίθος [19]) καὶ οὕτως πως πεσὼν, ὡς ἐπ' αὐτοῦ καθέζεσθαι δύνασθαι, αὐτομάτως τήνδε τῆς φύσεως θέσιν ἔσχεν ἐπακολουθήσασαν τῇ φυσικῇ τοῦ λίθου διὰ τὴν βαρύτητα καταφορᾷ. Ὁμοίως δὲ καὶ ὁ διὰ τὴν τροφὴν ἐλθὼν [20]) ἐπὶ τόνδε τὸν τόπον ἵππος, σωθεὶς δὲ διὰ τοῦτο ἀπὸ τῶν πολεμίων· καὶ γὰρ τούτῳ ἡ φυσικὴ τῆς τροφῆς ὄρεξις τῆς σωτηρίας αἰτία, οὐκ ἐλθόντι τοῦ σωθῆναι χάριν. Τὸ δὲ λέγειν τὴν τύχην αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ [21]), οὐκ ἔστι φύσιν τινὰ τύχης τιθεμένων, ἀλλ' ἐν τῇ πρὸς τὰ αἴτια ποιᾷ σχέσει τὴν τύχην εἶναι λεγόντων· ἔσταί τε οὕτως τὸ αὐτὸ τῷ μὲν ἀπὸ τύχης, τῷ δὲ οὔ· ὅταν ὁ μὲν αὐτοῦ γινώσκῃ τὴν αἰτίαν, ὁ δὲ ἀγνοῇ. Προςέτι τε ἐπεὶ πλείω τοῦ αὐτοῦ αἴτια, εἴγε τετραχῶς [22]), ὧν τὰ μὲν ἐνδέχεται εἰδέναι, τὰ δὲ μή· τὸ αὐτό τι ἅμα τῷ αὐτῷ καὶ ἀπὸ τύχης καὶ οὐχὶ ἀπὸ τύχης ἔσται [23]), ἂν τὰ μέν τινα τῶν αἰτίων αὐτοῦ γνωρίζῃ, τὰ δὲ ἀγνοῇ· οὐ γὰρ διώρισται παρὰ τὴν ποτέρου τῶν αἰτίων ἄγνοιαν ἡ τύχη. Εἰ γὰρ λέγοιεν μὴ τὴν τισὶν ἀνθρώποις αἰτίαν ἄδηλον εἶναι τὴν τύχην, ἀλλὰ τὴν καθόλου πᾶσιν ἀνθρώποις, οὐδ' ὅλως εἶναί τι συγχωροῖεν ἂν τὴν τύχην, διδόντες τε εἶναι μαντικὴν, καὶ τῶν ἀδήλων δοκούντων εἶναι τοῖς ἄλλοις γνωστικὴν αὐτὴν τιθέμενοι. Εἰ γὰρ τοῦτο διορίζειν βουλόμενοι λέγοιεν τὴν ἄδηλον τοῖς ἀνεπιστήμοσιν αἰτίαν τύχην, ἔσται κατὰ τοῦτον τὸν λόγον καὶ τὰ κατὰ τὰς ἐπιστήμας τε καὶ τέχνας γινόμενα τοῖς

ctum esse dicimus, velut monstra. Cum enim non cuius finis gratia fiebat id quod factum est, naturaliter fiat, temere id et casu factum esse dicimus: et id quod consecutum est quum quod frustra sit, est causa per accidens, casu factum esse dicimus: et penitus omne id, quod rem quae naturaliter fit consecutum est, non exsistens cuius gratia fiebat, temere et casu factum esse dicitur. Ita lapis, qui delapsus sit atque eo modo ceciderit, ut locum ad sedendum praebere possit, casu hunc situm habuit, qui sequutus est naturalem lapidis propulsionem propter gravitatem: similiter equus, qui pabuli aviditate ad hunc locum se recepit, et propterea incolumis ab hostibus evasit. Naturalis enim ille cibi appetitus salutis causa exstitit, cum ipse tamen non venerit ut servaretur. Illi vero qui ita definiunt Fortunam, esse scilicet causam ignotam humanae rationi et abditam, naturam Fortunae non constituunt, sed in quali hominum habitudine ad causas Fortunam esse statuunt: Nam hoc pacto idem alicui erit a Fortuna, alicui non, si hic eius causam noverit, ille autem ignoret. Praeterea quum causae plures sunt eiusdem rei (quadripartito enim divisae sunt) quarum quasdam scire contingit, quasdam ignorare, fiet ut idem simul eidem sit a Fortuna et non a Fortuna, si ipsius causas quasdam cognoscat, quasdam ignoret. Non enim definitum est, propter cuius causarum ignorantiam Fortuna sit. Si enim dicant, non causam quibusdam hominibus ignotam esse Fortunam, sed eam quae omnibus omnino ignota sit, certe nihil quicquam esse Fortunam fatebuntur, si concedant esse vaticinandi artem, qua res aliis ignotas cognoscere statuant. si enim id distinguere ac definire volentes dicant Fortunam esse causam ignotam inscientibus et imperitis, hac ratione igitur ea quae ex scientiis et artibus fiunt,

ἀνεπιστήμοσί τε καὶ ἀτέχνοις ἀπὸ τύχης. Οὔτε γὰρ ὁ μὴ τέκτων οἶδε τῶν τεκτονικῶν τὴν αἰτίαν, οὔθ' ὁ μὴ μουσικὸς τῶν μουσικῶν, οὔτε ἄλλος τις ἄτεχνος τὰ τῆς τέχνης· ἐν γὰρ τῷ τὰς αἰτίας εἰδέναι τῶν γινομένων κατὰ τέχνην ἡ τέχνη.

ΜΗ.

Περὶ εἱμαρμένης [1].

Περὶ τῆς εἱμαρμένης ἄξιον ἐπισκέψασθαι, τί τέ ἐστι καὶ ἐν τίσι τῶν ὄντων. Τὸ μὲν γὰρ εἶναί τε τὴν εἱμαρμένην, ἱκανῶς ἡ κοινὴ τῶν ἀνθρώπων συνίστησι πρόληψις· ἡ γὰρ φύσις οὐ κενὸν οὐδὲ ἄστοχον [2]). Ὁ γὰρ Ἀναξαγόρας [3]) οὐκ ἀξιόπιστος ἀντιμαρτυρῶν τῇ κοινῇ δόξῃ· λέγει γὰρ οὗτός γε, μηδὲν εἶναι τὴν εἱμαρμένην ὅλως, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα [4]). Τί δέ ποτ' ἐστὶ καὶ ἐν τίσιν, οὐκέθ' ἡ τῶν ἀνθρώπων πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι· οὔτε γὰρ ἀλλήλοις οὔτε αὑτοῖς περὶ τοῦδε συμφωνεῖν δύνανται· πρὸς γὰρ τοὺς καιροὺς καὶ τὰς περιστάσεις καὶ τὴν περὶ τῆς εἱμαρμένης μεταβάλλουσι δόξαν. Ποτὲ μὲν γὰρ ἀπαράβατόν τι καὶ ἀναπόδραστον τὴν εἱμαρμένην τίθενται, καὶ πάντα γε τά τε ὄντα καὶ τὰ γιγνόμενα ὑποτάσσουσιν αὐτῇ, ποτὲ δέ [5]) ἐστιν αὐτῶν καὶ τὸ παρὰ τὴν εἱμαρμένην ἀκοῦσαι πολλάκις λεγόντων, καὶ τὸ παρὰ μοῖραν. Καὶ ὡς ἐπὶ τὸ πλεῖστον οἷς μὲν μήτε τὰ τῆς τύχης εὖ κυρεῖ [6]), μήτε τι μᾶλλον τὰ τῆς γνώμης τε καὶ τῆς οἰκείας προαιρέσεως ἔῤῥωται, ἐπὶ τὴν εἱμαρμένην ὡς χρησφύγετον [7]) καταφεύγουσι, τὴν αἰτίαν τῶν μὴ δεόντως πεπραγμένων τε ἢ πραττομένων ἑαυτοῖς ἀφ' ἑαυτῶν ἐπ' ἐκείνην μεταφέροντες, καὶ πάντα γε φασὶν οὗτοι τότε γίνεσθαι καθ' εἱμαρμένην· μεταπεσούσης δὲ τῆς τύχης ἐπὶ τὸ βέλτιον, οὐκέτι ἐπὶ τῆς αὐτῆς δόξης μένουσιν. Οἷς δὲ τὰ τῆς οἰκείας

ipsis inscientibus et artium ignaris a Fortuna erunt. Non enim qui faber non est, rerum fabrilium causam novit, neque qui non est musicus, musicarum, neque alius ullus artis ignarus ea quae ex arte fiunt cognoscit. Ars enim in cognitione eorum, quae ex arte fiunt, consistit.

Cap. XLVIII.

De Fato.

De Fato considerandum est ac perspiciendum quidnam sit et in quibus. Esse enim Fatum satis communis hominum anticipatio declarat. Natura enim non est vana neque mutabilis. Quippe Anaxagorae fides haud est habenda, qui communi opinioni refragari ausus est. Ait enim nihil esse ipsum Fatum penitus, sed vanum esse ac temerarium id nominis. Quid vero sit Fatum et in quibus versetur, communis opinio satis explicare non potest: neque enim secum ipsi neque cum aliis de hac re convenire possunt; iuxta occasiones enim et circumstantias sententiam quoque de Fato mutant. Quandoque enim rem insuperabilem et inevitabilem Fatum esse statuunt, et omnia entia omniaque quae fiunt, Fato subiiciunt. Quandoque vero eos audire licet dicentes aliquid praeter Fatum esse et praeter Parcam. Et quam saepissime quibus neque fortuna dextre cadit, neque consilia aut propria proposita stabiliuntur, ad Fatum tanquam ad quoddam asylum confugiunt, et culpam rerum, quae non recte geruntur aut gestae ab ipsis sunt, a se in Fatum transferunt, et omnia ii tunc affirmant fieri secundum Fatum; Ubi vero fortuna in melius ceciderit, non amplius in eadem sententia manent. Quibus vero ex sententia aliquid cesserit a fortuna, sibi potius quam Fato causam illius rei adscribunt. Alii sunt qui om-

γνώμης δεξιὰ, καὶ ταύτῃ συνῳδά τὰ παρὰ τῆς τύχης, εἰς ἑαυτοὺς μᾶλλον ἢ τὴν εἱμαρμένην τὴν αἰτίαν τῶν γιγνομένων ἀνάπτουσιν. Ἄλλοι δ' αὖ τῶν [8]) μὲν δεξιῶν ἁπάντων ἢ ἑαυτοὺς ἢ τὸ θεῖον αἰτιῶνται, ἐπὶ δὲ τοῖς χείροσιν ἐπιβοῶνται τὴν εἱμαρμένην. Εἰσὶ δέ τινες καὶ γόητες ἄνθρωποι, οἵ τινες κατανοήσαντες τὴν τῶν πολλῶν ἀσθένειαν περὶ τὴν τῆς εἱμαρμένης καὶ τῶν κατ' αὐτὴν γιγνομένων κρίσιν, καὶ τὸ ῥᾴδιον αὐτῶν διὰ φιλαυτίαν καὶ τὸ μηδὲν αὐτοῖς συνεῖναι δεξιὸν, πρὸς πίστιν τοῦ πάντων τῶν ἁμαρτανομένων τὴν εἱμαρμένην αἰτιᾶσθαι, ἀποφαίνονται πᾶν τὸ γιγνόμενον γίγνεσθαι καθ' εἱμαρμένην, καὶ τέχνην ὑποκρίνονταί τινα τοιαύτην, καθ' ἣν φασὶν οἷοί τε εἶναι πάντα προγιγνώσκειν τε καὶ προμηνύσειν τὰ ὁπωσοῦν ἐσόμενα, τῷ μηδὲν αὐτῶν γίγνεσθαι χωρὶς ἀνάγκης τινὸς, ἣν εἱμαρμένην λέγουσι· καὶ λαβόντες βοηθοὺς τοὺς καὶ τῆς τέχνης αὐτῶν αἰτίους, ἀναπείθουσι τοὺς πλείστους τῶν ἀνθρώπων, ἐν ταῖς περιστάσεσιν αὐτοῖς ἐπιτιθέμενοι καὶ ταῖς συμφοραῖς μόνον οὐκ εὐχομένοις τοῦθ' οὕτως ἔχον φανῆναι, κατά τινα τριβήν τε καὶ περὶ τὰ τοιαῦτα σύνεσιν [9]) καὶ τῆς ἐν τοῖς τοιούτοις ἀκολουθίας θεωρίαν προλέγοντες εὐστόχως τινὰ τῶν τοῖς οὕτως ἔχουσιν ἀκολούθως ἐσομένων, ὡς δὴ τοῦτ' ἐκ τῆς τέχνης τῆς περὶ τὴν εἱμαρμένην λέγοντες μισθοὺς οὐκ ὀλίγους ὑπὲρ τῆς τοιαύτης κακοτεχνίας ἐκλέγοντες, ἀσμένως αὐτοῖς τῶν πειρωμένων διδόντων ὡς βοηθοῖς καὶ συνηγόροις τῶν οἰκείων ἁμαρτημάτων. Οἱ καὶ τοὺς πλείστους τῶν ἀνθρώπων ἀναπεπείκασι, δι' ἀργίαν ἀφεμένους τοῦ σκοπεῖν, ὅπῃ ποτὲ ταῦτα ἔχει, καὶ τίς ἡ τάξις ἐν τοῖς οὖσι τῆς εἱμαρμένης, πάντα τὰ γιγνόμενα καθ' εἱμαρμένην γίγνεσθαι λέγειν. Ἀλλ' ἐπειδὴ μηδὲ οἱ πάνυ τὴν εἱμαρμένην ἐπιβοώμενοι ἐν ταῖς κατὰ τὸν βίον πράξεσιν ἐκείνῃ φαίνονται πάντα πεπιστευκέναι, (ἱκανὸν γὰρ τἀληθὲς μαχομένους αὐτοὺς ἀποφῆναι

nium rerum felicium aut sibi aut Deo causam attribuunt; in adversis vero Fatum inclamant et criminantur. Sunt praeterea quidam praestigiatores, qui cum multitudinis imbecillitatem de Fato animadverterint, et iudicium eorum quae Fato fiunt, facilitatem item ipsius plebis ex amore sui contractam, et quae nullius rei honestae sibi conscia sit, ut comprobent omnium erratorum Fatum culpandum esse, omne quod fit Fato fieri pronuntiant. Artem quoque eiusmodi simulant, qua profitentur omnia quae quoquo modo futura sint praesciri atque praedici posse, quum nihil eorum sine necessitate quadam fiat quod Fatum vocant. Et adscitis sociis et adiutoribus, qui etiam ipsius artis auctores sunt, seducunt ac decipiunt homines quam plurimos, in circumstantiis et calamitatibus ipsos adorientes, qui propemodum precantur, ut id ita se habere appareat. Quod consuetudine quadam et usu circa res eiusmodi, et collatione contemplationeque consecutionis in talibus rebus faciunt. Praedicunt enim quaedam commode et ingeniose eorum, quae consequenter iis qui ita habent, futura sunt, idque tanquam ex arte circa Fatum ita esse pronuntiant. Et mercedes non paucas pro tali perversa arte colligunt: libenter enim dant, qui experiuntur, tanquam adiutoribus ac defensoribus propriorum errorum. Quibus suis nugis bonam hominum partem deceperunt, qui propter socordiam quaerere praetermittunt, quonam modo haec habeant, et quis ordo Fati in entibus, ut omnia secundum Fatum fieri dicantur. Verum quum non illi quidem, qui summopere Fatum invocant, in actionibus vitae omnia ipsi Fato credere videntur (satis enim ostendit veritas eos qui falsa credunt, sibi repugnare) nos igitur altius ducto exordio videre par est, quaenam sit natura Fati, et in quibus et quam diu vim

τοὺς τὰ ψεύδη πεπιστευμένους λέγειν) ἄξιον ἡμᾶς ἄνωθεν ἀρξαμένους ἰδεῖν τίς ποτέ ἐστιν ἡ φύσις καὶ ἐν τίσι καὶ μέχρι πόσου τὴν ἰσχὺν ἔχει. Καὶ πρῶτόν γε περὶ ποῖα τῶν ὄντων [10]) εὔλογον αὐτὴν λέγειν εἶναι, διασκεψώμεθα· τοῦτο γὰρ φανερὸν γενόμενον πρὸ ἔργου [11]) γενήσεται καὶ πρὸς τὰ ἄλλα τὰ ζητούμενα περὶ αὐτῆς. Τὸ μὲν οὖν πᾶσι τοῖς οὖσιν ἐπιτάσσειν αὐτὴν, καὶ πάντα λέγειν εἶναι τὰ ὄντα καθ᾽ εἱμαρμένην, ὁμοίως ἀΐδιά τε καὶ μὴ, οὔτε εὔλογον ἄλλως οὐθ᾽ ὑπὸ τῶν ὑμνούντων μάλιστα τὴν εἱμαρμένην ὡς αἰτίαν τῶν γιγνομένων ἁπάντων, ὁμολογούμενον. Οὔτε γὰρ τὰ ἀΐδια καθ᾽ εἱμαρμένην εἶναι τοιαύτην λέγειν εὔλογον· γελοῖον γὰρ τὸ τὴν διάμετρον [12]) ἀσύμμετρον τῇ πλευρᾷ λέγειν εἶναι καθ᾽ εἱμαρμένην, ἢ τὸ τρίγωνον διὰ τοῦτο δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς ἐντὸς γωνίας· καὶ καθόλου τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα οὐδαμῶς εὔλογον καθ᾽ εἱμαρμένην οὕτως ἔχειν λέγειν. Ἀλλ᾽ οὐδὲ τὰ γιγνόμενα πάντα· ὅσα γὰρ καὶ τούτων εὔτακτόν τε καὶ ὡρισμένην ἔχει τὴν γένεσίν τε καὶ κίνησιν, ἔξω πίπτει καὶ ταῦτα τῆς εἱμαρμένης. Οὐ γὰρ καθ᾽ εἱμαρμένην ὁ ἥλιος ἐν χειμεριναῖς ἢ θεριναῖς τροπαῖς γίγνεται, οὐδὲ ἕκαστον τῶν ἄστρων εἱμαρμένην αἰτίαν ἔχει τῆς οἰκείας φορᾶς· ἀλλ᾽ ἔστιν ὥςπερ κατὰ τὸ εἶναι καὶ τὴν οὐσίαν ἐλεύθερα τῆς τοιαύτης οὐσίας [12] a), οὕτως δὲ καὶ κατὰ τὰς οἰκείας ἐνεργείας. Διὸ τῶν μὲν ἀϊδίων ἢ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ γιγνομένων οὐδενὸς αἴτιον ἡ εἱμαρμένη, δοκεῖ δὲ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ τὸ τῆς εἱμαρμένης ἔργον εἶναι. Ἐν γὰρ τοῖς ἐπιτηδείοις ὅσον ἐπὶ τῇ φυσικῇ παρασκευῇ πρὸς τὰ ἀντικείμενα τῆς εἱμαρμένης ἰσχὺς εἶναι δοκεῖ, ἐν θατέρῳ τῶν ἀντικειμένων κατέχουσα αὐτὰ καὶ φυλάττουσα κατά τινα τάξεως ἀκολουθίαν. Ἃ γὰρ οὐκ ἂν οὕτως ἔχει [13]) ἄνευ τῆς εἱμαρμένης, ταῦτα παρὰ τῆς εἱμαρμένης ἐν τῇδε τῇ τάξει φυλάττεσθαι δοκεῖ· τοιαῦτα δέ ἐστιν οὐκ ἄλλά τινα

habeat. Ac primum quidem circa quas res id versari dicendum sit, inspiciamus. Id enim, ubi declaratum fuerit, operae pretium fuerit etiam reliqua quaerere de ipso. Ipsum igitur Fatum omnibus rebus adiungere et omnia entia secundum Fatum esse dicere, tam sempiterna quam non, neque alioqui rationabile est, neque ab iis, qui maxime Fatum decantant ceu causam omnium rerum quae fiunt, admissum ac concessum. Neque enim rationi consentaneum est ut sempiternum secundum Fatum esse dicamus. Ridiculum quippe est si quis dimetientem lateri inaequalem esse secundum Fatum asserat, aut triangulum propterea duabus rectis aequales habere angulos extrinsecos, et penitus ea quae semper secundum eadem et eodem modo se habent, absurdum est si quis secundum Fatum ita ipsa habere asseveret. Quin etiam ne omnia quidem quae gignuntur. Quaecumque enim horum ordinatam et certam generationem habent et motum, ipsa quoque extra Fatum posita sunt. Non enim Fato Sol in hiberno aut aestivo solstitio versatur, neque ullum astrorum Fato causam suae lationis acceptam fert: sed velut iuxta essentiam et substantiam libera sunt a tali causa, ita quoque in propriis actibus. Quare rerum sempiternarum aut quae secundum eadem et eodem modo semper se habent, nullo pacto Fatum causa exsistit; sed videtur in rebus generationi et corruptioni subiectis Fatum versari. In iis enim quae, quantum ad naturalem apparatum pertinet, apta sunt et comparata ad opposita, vis Fati versari videtur, in altero oppositorum cohibens ea et conservans, secundum quandam ordinis consequentiam. Quae enim sine Fato non ita se habere posse videntur, ea a Fato in hoc ordine conservari videntur. Talia autem sunt non alia entia, quam ea quae sunt in generatione et cor-

τῶν ὄντων, ἢ τὰ ἐν γενέσει καὶ φθορᾷ· ὥςτε ἐνταῦθά που καὶ τὸ τῆς ἑιμαρμένης. Ἐπεὶ μὲν καὶ τούτων τὰ μὲν κατὰ τέχνην τε καὶ λόγον τεχνικόν τινα, τὰ δὲ κατὰ προαίρεσιν, τὰ δὲ κατὰ φύσιν γίνεται, σκεπτέον ἐν τίσι τούτων τὸ τῆς ἑιμαρμένης, ἑι μὴ οἷόν τε ἐν πᾶσι. Τὰ μὲν ὄυν κατὰ τέχνην γινόμενα καθ᾽ ἑιμαρμένην ἑῖναί τε καὶ γίγνεσθαι λέγειν, οὐδαμῶς ταῖς περὶ τῆς ἑιμαρμένης δόξαις συνῳδόν· γελοῖον γὰρ τὸ τὴν κλίνην [14]) ἢ τὸ βάθρον καθ᾽ ἑιμαρμένην γεγονέναι λέγειν, ἢ τὴν λύραν ἡρμόσθαι καθ᾽ ἑιμαρμένην· ὁύτω γὰρ ἐροῦμεν πᾶσαν τέχνην ἑιμαρμένην. Ἀλλ᾽ οὐδ᾽ ὧν προαίρεσις ἀιτία, ταῦτα καθ᾽ ἑιμαρμένην ἂν ἑίη· τούτων γὰρ ἐν ἡμῖν ἡ ἀρχὴ καὶ οὐκ ἔξωθεν, ἡ δὲ ἑιμαρμένη οὐκ ἐν ἡμῖν· καὶ γὰρ ἑι καὶ περὶ ταῦτα ἐστιν ἡ ἑιμαρμένη, περὶ ἃ καὶ τὸ ἐφ᾽ ἡμῖν, ἀλλὰ ἄλλο γέ ἐστι τοῦ ἐφ᾽ ἡμῖν. Ἀφαιρετέον ἄρα τῆς ἑιμαρμένης καὶ τῶν ἐν γενέσει τὰ γιγνόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν. Τούτων δ᾽ ἀφῃρημένων, λοιπὸν καταλείπεται ταῦτα, ὁῖς ἡ φύσις τῆς γενέσεως ἀιτία, ἐν ὁῖς δὲ καὶ δοκεῖ δυναστεύειν τὸ τῆς ἑιμαρμένης. Ἑι γάρ τις ἐπιστήσας ἐξετάζειν βούλοιτο τὰς δόξας τὰς περὶ τῆς ἑιμαρμένης καταβεβλημένας, οὐ περὶ ἄλλά τινα, οὐδὲ ἐν ἄλλοις ἀυτὰς ἑυρήσει τὴν ἑιμαρμένην τιθείσας, ἀλλ᾽ ἐν τοῖς γινομένοις φύσει· καὶ τούτων μάλιστα ἐν τῇ τῶν ζώων καὶ τῶν ἐκ συγκρίσεων τῶν ἐν γενέσει [15])· οὐ γὰρ τὸ τὴν τῶν στοιχείων ἑις ἄλληλα μεταβολὴν καθ᾽ ἑιμαρμένην γίνεσθαι λέγειν πάνυ τὶ συνηθές. Ὄντος τοίνυν τοῦ καθ᾽ ἑιμαρμένην ἐν ὁῖς προειρήκαμεν, καὶ τούτου γνωρίμου γεγονότος, ἀκόλουθον ἂν ἑίη μετὰ τούτου ζητῆσαι πότερον τοιοῦτόν ἐστιν, ὡς ἀναγκαῖόν τε ἑῖναι καὶ ἀπαράβατον κατὰ τὸν ποιητὴν τὸν λέγοντα·

Μοῖραν δ᾽ ὁύτινα [16]) φημὶ πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

ruptione, quare in his Fatum versabitur. Verum quum ex his quaedam in arte et ratione quadam artificiali, quaedam ex proposito, quaedam ex natura fiant, considerandum est in quonam horum sit Fatum, si, ut in omnibus sit, impossibile est. Res sane quae ex arte fiunt, si quis secundum Fatum et esse et fieri asserat, nequaquam opinionibus de Fato consentiet. Ridiculum quippe est lectum aut scamnum Fato factum esse dicere aut lyram modulationi accommodatam secundum Fatum; ita enim omnis ars Fato esse dicetur. Quin ne ea quidem quorum causa est propositum, Fato esse possunt. Horum enim in nobis principium est, non autem extrinsecus; Fatum vero in nostro arbitrio non est. Nam etsi Fatum circa ea versetur, circa quae versatur etiam liberum arbitrium, tamen differt a libero arbitrio. Quae igitur ex arte et proposito fiunt, a Fato auferenda sunt: his autem ablatis, reliquuntur ea, quorum generationis causa est natura, in quae Fatum imperium habere videtur. Si quis autem exactius et diligentius disquirere voluerit eas sententias, quae de Fato recitatae sunt, non circa alia neque in aliis ipsas inveniet Fatum constituere, quam in iis quae naturaliter fiunt. Et in iis ipsis praesertim animalibus et quae ex eorum collatione generantur. Neque enim usitatum est, ut mutuam elementorum transmutationem Fato fieri dicamus. Cum itaque Fatum in iis versetur quae supra memoravimus, cumque id delaratum sit, consequens hinc esset quaerere, utrum tale exsistat, ut necessarium ac inevitabile sit, ut poeta inquit.

Non quisquam Fatum bonus, aut sit pessimus ille,
Devitare potest, ubi primum viderit auras.

ἢ τοιοῦτον, οἷον καὶ παραβαίνεσθαι, καὶ μὴ πάντη τὸ ἀναγκαῖον ἔχειν ἐν αὐτῇ. Ἐκ μὲν οὖν τῆς κοινῆς τῶν ἀνθρώπων περὶ τάδε κρίσεως οὐδέτερον ἔχομεν βεβαίως τούτων τιθέμενον. Ποτὲ μὲν γὰρ τὸ τῆς εἱμαρμένης ὑμνοῦσιν ὡς ἀναγκαῖον, ποτὲ δὲ οὐ πάντη τὴν συνέχειαν αὐτὴν πιστεύουσι σώζειν. Καὶ γὰρ οἱ διὰ τῶν λόγων ὑπὲρ αὐτῆς ὡς οὔσης ἀναγκαίας διατεινόμενοι σφόδρα, καὶ πάντα ἀνατιθέντες αὐτῇ, ἐν τοῖς κατὰ τὸν βίον πράξεσιν οὐκ ἐοίκασιν αὐτῇ πεπιστευκέναι· τύχην γοῦν πολλάκις ἐπιβοῶνται, ἄλλην ὁμολογοῦντες εἶναι ταύτην αἰτίαν τῆς εἱμαρμένης· ἀλλὰ καὶ τοῖς θεοῖς οὐ διαλείπουσιν εὐχόμενοι, ὡς δυναμένου τινὸς ὑπ᾽ αὐτῶν διὰ τὰς εὐχὰς γενέσθαι παρὰ τὴν εἱμαρμένην· ἀλλὰ καὶ βουλεύονται περὶ τῶν πρακτέων αὐτοῖς, καί τοι καὶ ταῦτα καθ᾽ εἱμαρμένην εἶναι λέγοντες, καὶ συμβούλους παρακαλοῦσι, καὶ μαντείαις οὐκ ὀκνοῦσι χρῆσθαι, ὡς ἐνὸν αὐτοῖς, εἰ προμάθοιεν [17]), φυλάξασθαί τι τῶν εἱμαρμένων. Ἐπεὶ δὲ οὗτοι μὲν αὐτοῖς περιπίπτουσι περὶ τὰ μέγιστα φανερῶς οὕτως διαφωνίαν ἔχοντες (ἀπιθανώταται γοῦν εἰσιν αὐτῶν αἱ πρὸς τὴν τούτων συμφωνίαν εὑρεσιλογίαι) δοκεῖ δὲ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ καὶ τὸ ἐνδεχόμενον εἶναι, ὃ τοῦ μηδὲν ἀναγκαίως ἐν τούτοις ἐν οἷς ἂν ᾖ, γίγνεσθαι αἴτιόν ἐστιν, ἄξιον ἐστὶν ἐπιστῆσαι περὶ τοῦδε, εἴ τέ ἐστιν εἴ τε μή. (Αὕτη γὰρ ἡ φύσις ὁρισθεῖσα πρὸς τὸ τὴν τῆς εἱμαρμένης οὐσίαν εὑρεῖν ἡμῖν τὰ μέγιστα συμβάλλεται). Ἱκανὴ μὲν οὖν ἡ χρῆσις ἡ κοινὴ συστῆσαι τὴν ἐνδεχομένην φύσιν· οὐδεὶς γὰρ οὐδὲ τῶν ἐξ ἀνάγκης πάντα γίγνεσθαι λεγόντων ἐν τῷ ζῆν καὶ ταῖς κατὰ βίον ἐνεργείαις οὐ μαρτυρεῖ τῷ δύνασθαί τινα καὶ τῶν γιγνομένων μὴ γίγνεσθαι, καὶ τῶν μὴ γιγνομένων γίγνεσθαι· οὐ μὴν ἀλλὰ καὶ τῷ λόγῳ τοῦτο δεῖξαι ῥᾴδιον. Πολλὰ γὰρ τῶν γιγνομένων τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ ἀπὸ ταὐτομάτου γίγνεσθαι

an vero tale sit, ut possit declinari, nec penitus in se necessitatem habeat. Ex communi quidem hac de re hominum iudicio, neutrum horum firmiter statuere possumus. Quandoque enim Fatum decantant ac celebrant tanquam necessarium; quandoque autem non prorsus Fatum continuitatem conservare credunt. Nam qui multis verbis conati sunt ostendere Fatum necessarium esse, omnia ipsi attribuentes, in actionibus postea vitae non videntur ipsi fidem habere. Nam fortunam plerumque inclamant, fatentes hanc diversam causam a Fato esse. Quin deos nunquam precari cessant, ceu aliquid ab illis propter preces possit etiam praeter Fatum effici. Sed consultant quoque de rebus a se agendis: atqui cum haec quoque Fato fieri dicant, tamen consiliarios arcessunt, et oracula quoque adire non verentur; tanquam possint, si praedidicerint cavere ab aliquo, quod Fato decretum sit. Quamobrem quum hi sibi refragantur, circa res maximas adeo aperte dissensionem habentes, merito igitur fictae illae rationes, quas ad horum concordiam addunt, a vero et a fide prorsus alienae sunt. Videtur porro in iis quae generantur et corrumpuntur, contingentia quoque esse, quae ut nihil necessario fiat in iis in quibus sit, causa est. Perquirendum igitur ac discutiendum de eo, sive sit, sive non sit. Haec enim natura definita ad reperiendam Fati substantiam nobis summopere conducit. Satis sane est communis usus ad constitutionem contingentis naturae: nullus enim ne eorum quidem, qui omnia ex necessitate fieri affirmant in vita et actionibus vitae, non testatur posse quaedam eorum quae fiunt, non fieri, et eorum quae non fiunt, fieri. Quinetiam id ratione ostendere perfacile est. Multa enim eorum quae fiunt partim a natura partim a casu fieri in confesso est. Esse autem aliquid

πεπίστευται, τὸ δ' εἶναί τι καὶ ἐφ' ἡμῖν οὕτως ἐναργές ἐστιν, ὡς μηδὲ τοὺς τὰ τῆς εἱμαρμένης ὡς ἀναγκαῖα πάνυ κρατύνειν πειρωμένους [13]) ἀντιβλέπειν δύνασθαι τῷδε τῷ δόγματι. Ἀλλὰ μὴν εἰ ἔστιν ἐφ' ἡμῖν τι, καὶ τοῦτο περὶ ταῦτά ἐστι, παρ' ἃ καὶ τὴν εἱμαρμένην εἶναι συμβέβηκεν, ἀναιρεῖται τὰ τὴν εἱμαρμένην ἀπαράβατόν τε καὶ ἀκώλυτον καὶ ἀναγκαῖον εἶναι· ὧν γὰρ ἡμεῖς ἐσμὲν ἀρχαὶ ἑλέσθαι τε καὶ μὴ, ταῦτα ἀδύνατον κατηναγκάσθαι λέγειν. Ἀλλὰ μὴν ἀνάγκη τοῖς λέγουσι τὴν εἱμαρμένην εἶναι, περὶ ταῦτα λέγειν εἶναι, περὶ ἃ καὶ τὰ ἐφ' ἡμῖν. Εἴτε γὰρ τὰ τέλη μόνα γίγνεσθαι καθ' εἱμαρμένην λέγοιμεν, εἴτε καὶ τὰς πράξεις, αἷς ἕπεσθαι τὰ τέλη συμβέβηκεν, ἀμφοτέρως ἀκολουθεῖ περὶ τὰ αὐτὰ λέγειν εἶναι τὴν εἱμαρμένην, περὶ ἃ καὶ τὰ ἐφ' ἡμῖν. Ἐι μὲν οὖν τὰς πράξεις καθ' εἱμαρμένην λέγοι τις, αὐτόθεν δῆλον τὸ κείμενον· ἐν γὰρ ταύταις ἐστὶ καὶ τὸ ἐφ' ἡμῖν· εἰ δὲ τὰ τέλη μόνον, ὧν αἱ πράξεις χάριν, ἀκολουθεῖ δὲ ταῖς τοιαῖσδε πράξεσι τὰ τοιάδε τέλη (οὐ γὰρ δὴ τοῖς ὁπωσοῦν πραχθεῖσιν ἕπεται ταὐτὸν τέλος) ἀνάγκη καὶ τὰς πράξεις, αἷς ἀκολουθήσει τὰ τοιαῦτα τέλη, καθειμάρθαι λέγειν. Οὐ γὰρ ἀκολουθήσει τὸ καθ' εἱμαρμένην τέλος μὴ προηγησαμένων τῶν ἐπὶ τοῦτο ἀγουσῶν πράξεων· καὶ τὸ ἐφ' ἡμῖν δὲ περὶ ταῦτα· Ὅτι γάρ ἐστί τι ἐφ' ἡμῖν, δῆλον καὶ ἐκ τῶνδε ἂν γένοιτο, εἴγε δεῖ περὶ τῶν ἐναργῶν ἀποδείξεσι χρῆσθαι. Ἔκ τε γὰρ τοῦ μηδὲν μὲν τῶν [19]) ὑπὸ τῆς φύσεως προηγουμένως γιγνομένων γίγνεσθαι μάτην, ἐν δὲ τοῖς ἀνθρώποις ὂν [20]) τὸ βουλεύεσθαι φύσει, ὂν δὲ καὶ [21]) προηγούμενον ἔργον τῆς φύσεως, εἴ γε τούτῳ δοκεῖ μάλιστα τῶν ἄλλων ζώων ἄνθρωπος διαφέρειν, μάτην γίγνεται [γεγονότος κενῶς] [22]) εἰ μηδὲν ἐκ τῆς βουλῆς ὁ βουλευόμενος ἑλέσθαι κύριος. Ἀλλὰ γὰρ ὡς ἔχοντες τούτου τὴν ἐξουσίαν [23]) αὐτοί γε ἐφ' αὑτῶν βουλευόμεθα περὶ τῶν πρακτέων ἡμῖν, ἀλλ'

etiam in nostro arbitrio, id vero adeo perspicuum est, ut ne illi quidem, qui res Fati tanquam necessarias corroborare enituntur, huic placito reclamare possint. Atqui, si aliquid est in nostro arbitrio, idque circa ea versatur, circa quae versari Fatum contingit, iam tollitur Fatum esse inevitabile, insuperabile, necessarium. Quorum enim nos principia sumus ut eligamus vel non, haec impossibile est, ut coacta et necessaria esse dicantur. Atqui necesse est eos qui asserunt Fatum esse, circa ea versari dicere, circa quae versantur quae in nostro arbitrio sunt. Sive enim solos fines dicant secundum Fatum fieri, sive actiones quas fines sequuntur, contingit utroque modo ut circa eadem Fatum unoque modo sit, circa quae versantur quae in voluntate nostra posita sunt. Si igitur quisquam actiones quoque Fato esse dicat, hinc patet positio, in his enim est quoque liberum arbitrium; si autem fines dumtaxat, quorum gratia actiones sunt, sed post tales actiones tales fines sequuntur, (non enim ea, quae quomodocunque facta sunt, sequitur idem finis) necesse est igitur ut actiones quoque, quas fines eiusmodi sequantur, Fato coactas esse dicant. Non enim sequetur finis secundum Fatum nisi actiones praecesserint quae eo perducant. Et liberum etiam arbitrium circa haec versatur. Esse enim aliquid in nostro arbitrio, hinc etiam colligi potest, si modo in evidentibus demonstrationes adducendae sunt, primum quod nihil eorum quae a natura praecipue fiunt, frustra fiat: in hominibus autem est consultatio naturaliter, et praecipuum etiam naturae opus (siquidem ea maxime videtur homo a reliquis animantibus distare,) certe frustra et temere facta erit, si consultans nihil ex consilio eligere potest. Verum tanquam id in nostra potestate sit, nos ipsi de rebus nobis agendis consulta-

οὐκ εἴξαντες ταῖς φαντασίαις τοῖς ἀλόγοις τῶν ἄλλων ζώων παραπλησίως αὐταῖς ἑπόμεθα, συμβούλους τε παρακαλοῦμεν, οὓς ἂν εἰδῶμεν πλέον τι δυναμένους ἡμῶν εἰς τὴν κρίσιν τῶν προκειμένων, καὶ τὴν αἵρεσιν συνάρασθαι. Ἤδη δὲ περὶ τῶν μειζόνων καὶ χαλεπωτέρων οὐκ ὀκνοῦμεν συμβούλους καὶ τοὺς θεοὺς παρακαλεῖν, ἀξιοῦντες παρ᾽ αὐτῶν μαθεῖν ἢ διὰ χρησμῶν ἢ διὰ συμβούλων, ἢ δι᾽ ὀνείρων [24]), ὁποτέρα χρὴ μᾶλλον ἡμᾶς ἑλέσθαι τῶν ζητουμένων. Ἱκαναὶ δὲ καὶ αἱ νομοθεσίαι τοῦτο συστῆσαι [25]), ἐν αἷς διδασκαλίαις τε τινῶν κελεύεται καὶ προστάσσεται τὰ ποιητέα, καὶ τιμῶνται μὲν οἱ πειθόμενοι τούτοις, κολάζονται δὲ οἱ μή. Ἀλλὰ μὴν ὄντος γέ τινος ἐφ᾽ ἡμῖν, καὶ τὸ ἐνδεχόμενόν ἐστιν· εἴγε ἐφ᾽ ἡμῖν ἐστι τό τε πρᾶξαι καὶ τὸ μή. Τούτου δὲ ὄντος, ἀδύνατον ἀναγκαῖον εἶναι τὸ τῆς εἱμαρμένης, ὃν ἐν τούτοις, ἐν οἷς καὶ τὸ ἐφ᾽ ἡμῖν ἔχει χώραν. Ἱκαναὶ δὲ καὶ αἱ πρὸς τοὺς θεοὺς εὐχαὶ, τῶν μὲν ἀποτροπήν τινων αἰτουμένων παρ᾽ αὐτῶν, τῶν δὲ δόσιν ἀγαθῶν, ὡς ὄντων τινῶν ἐνδεχομένων καὶ γενέσθαι καὶ μὴ, διὰ τὴν ἡμετέραν αἴτησιν ὑπὸ τῶν θεῶν συστῆσαι τὸ εἶναί τινα ἐνδεχόμενα. Ἀλλὰ μὴν καὶ ἐκ τῆς φυσικῆς συστάσεως τῶν ὄντων ἑκάστου τοῦθ᾽ οἷόν τε καταμαθεῖν. Ἡ γὰρ φύσις αὐτὴ τοῖς μὲν ἐξ ἀνάγκης οὖσί τε καὶ γιγνομένοις οὐδεμίαν ἐπιτηδειότητα πρὸς ἀντικείμενον ἔδωκε, τὴν δὲ ἀνεπιτηδειότητα πρὸς ἀδύνατα· μάτην γὰρ ἕξειν ἔμελλε τὴν ἐπιτηδειότητα πρὸς τὴν εἰς ταῦτα μεταβολὴν, ὄντα καὶ ἀδύνατα ἄλλως ἔχειν. Ὁρῶμεν γὰρ ὅτι οὔτε τὸ πῦρ [26]) ἔχει δύναμιν ψυχρότητος ἐν αὐτῷ, οὔτε ἡ χιὼν μελανίας, οὔτε τὰ βάρεα κουφότητος, μένοντά γε ταὐτὰ ἅ ἐστιν [27]), οὔτε τί τῶν ἀϊδίων τοῦ φθαρῆναι. Τοῖς δὲ οὐκ ἀναγκαῖόν ἐν θατέρῳ τῶν ἀντικειμένων ἀφωρισμένως εἶναί τε καὶ μένειν ταὐτὰ, καὶ τῆς εἰς τὸ ἀντικείμενον μεταβολῆς ἐκ φύσεως ἔχειν τὴν παρα-

mus, non autem assensi imaginationibus, ut alia animantia rationis expertia, illas sequimur. Consiliarios quoque adhibemus, quos videamus plus aliquid ad iudicationem et electionem propositi prodesse. Iam vero de maioribus ac difficilioribus ipsos Deos consiliarios advocare non veremur, rogantes ab ipsis dicere aut per oracula, aut per consiliarios (vates) aut per somnia quaedam, utra nos potius eligere oporteat ex quaesitis. Satis autem id quoque comprobare possunt legum sanctiones, quibus doctrina quorundam imperatur et iubetur, quae sint agenda: et honorantur qui illis parent, mulctantur qui minime. Contingens quoque est, siquidem in nostro arbitrio est facere hoc vel non facere. Cum vero id ita sit, impossibile est ut Fatum sit necessarium, cum in iis versetur, in quibus etiam liberum arbitrium locum habet. Satis item possunt vota et preces, quae Diis funduntur, cum alii aversionem et fugam alicuius rei ab ipsis petant, alii bonorum largitionem, tanquam quaedam contingant et esse et non propter nostram petitionem a Diis, satis inquam probare possunt esse quaedam contingentia. Quin etiam ex naturali cuiusque entis constitutione id facile cognosci potest. Natura enim in iis quae ex necessitate sunt et fiunt, nullam aptitudinem ad opposita dedit, sed ineptiam ad imposibilia. Frustra enim habuissent aptitudinem ad mutationem in has res, cum impossibile esset ea aliter habere. Videmus enim ignem neque frigiditatis potestatem in se habere, neque nivem nigredinis, neque gravia levitatis, si modo eadem maneant quae sunt. Neque sempiternis dedit ut corrumpi possint. Quibusdam autem elargita est, ut non necessario in altero oppositorum essent definite et manerent. Atque haec a natura praeparationem mutationis in oppositum habent. Eiusmodi plurima

σκευήν. Τοιαῦτα τῶν ἐν γενέσει καὶ φθορᾷ πλεῖστα, οἷς μή ἐστι θάτερον τῶν ἀντικειμένων σύμφυτον· ἕκαστον γὰρ αὐτῶν οἷόν τε τὰ ἀντικείμενα πάσχειν τε καὶ μή, τοῦτο ἐνδέχεται παθεῖν [28]) τε καὶ μὴ παθεῖν. Ὃ δὲ ἐνδέχεται μεταβάλλειν ἐις τὸ ἀντικείμενον, τοῦτο οὐκ ἔστιν ἐξ ἀνάγκης, ἐν ᾧ φθάσαν ἐστὶν αὐτῶν. Συνίστησι δὲ τὸ μὴ πάντα ἐξ ἀνάγκης γίγνεσθαι τὰ γιγνόμενα, τό τε ἐφ᾽ ἡμῖν, ὡς ἔφαμεν, καὶ ἡ τύχη ἱκανὴ διακόψαι τὴν συνέχειαν τῶν ἐν τάξει τινὶ γίγνεσθαι δοκούντων. Ἐι δὲ οὐδὲν μὲν ἧττον ἐναργὲς τῆς ἑιμαρμένης τὸ ἐῖναί τι ἐφ᾽ ἡμῖν, καὶ τὸ γίγνεσθαι καὶ ἀπὸ τύχης πολλὰ καὶ ἀπὸ ταὐτομάτου, καὶ ὅλως ἐν τοῖς ἐν γενέσει, ἐν οἷς ἐστι καὶ ἡ ἑιμαρμένη, ἐῖναι καὶ τὴν τοῦ ἐνδεχομένου φύσιν, τοῦτο δὲ ἀναιρεῖ τὸ ἀναγκαῖον, ἀδύνατον ἐῖναι τὴν ἑιμαρμένην ἀναγκαῖόν τι καὶ παραβαθῆναι μὴ δυνάμενον. Ἀλλὰ μὴν ὁμολογεῖται πάντα τὰ καθ᾽ ἑιμαρμένην γιγνόμενα κατὰ τάξιν καὶ ἀκολουθίαν γίγνεσθαί τινα, καί τι ἐφεξῆς ἔχειν ἐν αὐτοῖς. Οὐ γὰρ δὴ τοῖς ἀπὸ τύχης ὅμοια τὰ τῆς ἑιμαρμένης· ἐκεῖνα μὲν γὰρ ἄστατά τε καὶ σπανίως γιγνόμενα καὶ σχεδὸν ἀναίτια, τὸ δὲ καθ᾽ ἑιμαρμένην πᾶν τοὐναντίον· ἑιρμὸν γοῦν αἰτίων φασὶν αὐτὴν ἐῖναι. Ἀλλ᾽ οὐδὲ τῷ κατὰ προαίρεσιν [29]) ταὐτὸν ἡ ἑιμαρμένη δοκεῖ ἐῖναι· διακόπτεσθαι γὰρ [30]) τὸ συνεχὲς αὐτῆς ὑφ᾽ ἡμῶν καὶ τῆς ἡμετέρας προαιρέσεως πολλάκις. Ἀλλὰ μὴν ἐν τοῖς γενητοῖς τε καὶ φθαρτοῖς ταῦτα ὁρῶμεν ἀίτια παρὰ τὴν συνιστᾶσαν [31]) φύσιν αὐτὰ καὶ δημιουργοῦσαν προαίρεσίν τε καὶ τὸ αὐτόματον καὶ τὴν τύχην· οὐ γὰρ ἐν τούτοις τὸ κατὰ τέχνην, ὧν οὐδενὶ ταὐτὸν τὸ τῆς ἑιμαρμένης ἐῖναι δοκεῖ. Λείπεται ἄρα τὴν ἑιμαρμένην μηδὲν ἄλλο ἢ τὴν ὀικείαν φύσιν ἐῖναι ἑκάστου. Οὐ γὰρ δὴ ἐν τῷ καθόλου καὶ κοινῷ τὸ τῆς ἑιμαρμένης, οἷον ἁπλῶς ζώων, ἀνθρώπων, ἀλλ᾽ ἐν τοῖς καθ᾽ ἕκαστα, Σωκράτει τε καὶ Καλλίᾳ. Ἐν

sunt eorum quae generantur, et corrumpuntur, quibus non est alterum oppositorum innatum. Unumquodque potest opposita pati et non, id est contingit pati et non pati. Quod autem contingit mutari in oppositum, id non est ex necessitate, in quocunque ipsorum prius fuerit. Liberum igitur arbitrium non omnia quae fiunt, et necessitate fieri probat; indicio quoque est fortuna quae continuitatem eorum, quae serie quadam fieri videntur, rescindere potest. Si igitur nihil minus evidens quam Fatum, aliquid in nostro arbitrio esse, et multa a fortuna et a casu fieri, et omnino in rebus generationi obnoxiis, in quibus est Fatum, esse quoque naturam contingentis, eo vero tolli necessitatem, impossibile igitur est ut Fatum res quaedam sit necessaria, et quam transgredi impossibile sit. Atqui in confesso est omnia quae secundum Fatum fiunt, secundum ordinem quendam et consequentiam quandam fieri, et seriem quandam habere in se ipsis. Non enim res Fortunae similes sunt eventis ipsius Fati; illae enim instabiles sunt, et raro fiunt, et fere sine causa; id vero quod secundum Fatum est, totum contrarium: catenam igitur causarum ipsum esse dicunt. Quin neque idem quod ea quae ex proposito fiunt Fatum esse videtur: eius enim continuitas a nobis et nostro proposito saepenumero rescinditur. Atqui in generabilibus et corruptibilibus has videmus esse causas praeter naturam, quae ipsa constituit ac fabricat, Electionem, Casum et Fortunam. In iis enim non est ars, cum quorum nullo Fatum idem esse videtur. Reliquum igitur est ut Fatum nihil aliud sit quam propria natura uniuscuiusque. Non enim in universali et communi est Fatum, ut in genere in animalibus, hominibus, sed in singularibus, Socrate et Callia. In his autem propria natura principium et

δὲ τούτοις ἡ ἰδία φύσις ἀρχὴ καὶ αἰτία τοιάδε, οὔσης τῆς κατὰ ταῦτα γιγνομένης τάξεως. Ἀπὸ γὰρ ταύτης ὡς ἐπὶ τὸ πᾶν καὶ οἱ βίοι καὶ αἱ τῶν βίων γίνονται καταστροφαὶ, μὴ ἐμποδισθείσης ὑπό τινων. Ὁρῶμεν γὰρ, ὅτι καὶ τὸ σῶμα, τῷ τοιόνδε ἢ τοιόνδε ἐκ φύσεως εἶναι καὶ ἐν νόσοις γίγνεται καὶ ἐν φθοραῖς, ἀκολούθως τῇ φυσικῇ συστάσει· οὐ μὴν ἐξ ἀνάγκης· ἱκαναὶ γὰρ ἐκκροῦσαι τήνδε τὴν τάξιν ἐπιμέλειαί τε καὶ ἀέρων ὑπαλλαγαὶ καὶ προστάξεις ἰατρῶν, καὶ συμβουλίαι θεῶν. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν παρὰ τὴν φυσικὴν κατασκευὴν διαφόρους γινομένας καὶ τὰς πράξεις καὶ τὰς προαιρέσεις καὶ τοὺς βίους. Ἦθος γὰρ [32]) ἀνθρώπων κατὰ τὸν Ἡράκλειτον, δαίμων, τουτέστι φύσις. Ὡς ἐπιπλεῖστον γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσι καὶ τὰς πράξεις, καὶ τοὺς βίους, καὶ τὰς τῶν βίων καταστροφὰς ἀκολουθεῖν συμβέβηκε. Τῶν μὲν γὰρ ἀψιμάχων [33]) καὶ φιλοκινδύνων φύσει βίαιός τις καὶ ὁ θάνατος ὡς ἐπιτοπλεῖστον· αὕτη γὰρ εἱμαρμένη τε καὶ φύσις αὐτοῦ· τῷ δὲ ἀκολάστῳ καὶ ἐν ἡδοναῖς ζῶντι ὁ ἐν ταῖς ἀκρασίαις, καὶ τῷ καρτερικῷ ὁ δι' ὑπερβολῆς πόνων καὶ κακοπαθειῶν· τῷ δὲ ἀνελευθέρῳ ὁ ἐκ τῆς περὶ τὸ ἀδιάφορον σπουδῆς, δι' ἣν ἀδικοῦσι καὶ αὐτῶν ὀλιγωροῦσι καὶ πονοῦσιν ὑπὲρ τὴν δύναμιν· διὰ τοῦτο γοῦν εἰώθασι καὶ ἐπιλέγειν τοῖς τοιούτοις, ὡς αὐτὸς αὐτῷ γέγονεν αἴτιος τοῦ θανάτου. Τοιούτου δὲ ὄντος τοῦ καθ' εἱμαρμένην, οὔτε τὴν μαντικὴν ἐροῦμεν ἄχρηστον ἔτι, προορωμένην τε τὸ κατὰ φύσιν ἀποβησόμενον, καὶ βοηθοῦσαν διὰ τοῦ συμβουλεύειν τε καὶ κελεύειν ἐνίστασθαι τῇ τῆς φύσεως χείρονος ἀκολουθίᾳ. Ἀλλ' οὐδ' ἡ τῆς τύχης ἀναιρεθήσεται φύσις, ἀλλ' ἕξει τινῶν αἰτίων [34]) συμπίπτει [35]) τοῖς γιγνομένοις κατὰ προαίρεσιν. Ἔτι δὲ μᾶλλον τὸ θεῖον καὶ αἱ ἐκ τούτου βοήθειαι, καὶ αἱ παρ' ἡμῶν εὐχαί τε καὶ δεήσεις τὴν οἰκείαν

causa talis est eius ordinis, qui secundum eadem sit. Ab hoc enim semper vitae et vitarum discessiones fiunt, nisi impedita ab aliquo sit. Videmus enim corpus, quod tale vel tale ex natura sit, in morbos cadere, et in corruptiones, qualis est naturalis constitutio; non tamen ex necessitate. Possunt enim tollere hunc ordinem, tum curationes, tum aëris mutationes, et iussa medicorum, et consultationes Deorum. Eodem autem modo in anima quoque invenire aliquis potest praeter naturalem apparatum, differentes fieri et actiones et electiones et vitas. Mos enim hominum, ut inquit Heraclitus, Deus est, hoc est Natura. Quam saepissime enim naturaliter praeparationibus et dispositionibus actiones quoque et vitas et vitarum mutationes similes esse contingit. Rixatorum enim et audacium, violenta quaedam mors est cum plurimum: hoc enim est Fatum et natura ipsorum: Intemperantis autem et voluptatibus dediti mors est in immoderata intemperantia: Fortis et patientis mors propter laborum et aerumnarum tolerantiam: Avari et sordidi propter nimium studium et anxiam curam rei indifferentis (hoc est divitiarum) tum quia iniusti sunt, et se ipsi negligunt, et supra vires laborant. Quare de iis dicere solent ipsos sibi mortis causam praebuisse. Cum igitur eiusmodi sit quod secundum Fatum est, neque artem vaticinandi inutilem esse dicemus, quae adhuc praevidet id quod naturaliter futurum est, et opem fert quum consilium dat, et iubet naturae deterioris consecutioni adversari: quin neque natura fortunae tolletur, sed habitu quarundam causarum coincidit cum iis quae fiunt ex proposito. Multo enim magis Deus et eius auxilia, et nostrae preces ac rogationes proprium locum servabunt, cum eiusmodi sit id quod Fato fit. Conveniet etiam cum his id quod dicitur;

χώραν φυλάξουσιν, ὄντος τοῦ τῆς ἑιμαρμένης τοιούτου. Ὁμολογήσει δὲ τούτοις καὶ τὸ λεγόμενον, ὅτι πολλὰ καὶ παρὰ μοῖραν γίνεται καὶ παρὰ ἑιμαρμένην, ὥς που καὶ ὁ ποιητὴς ἐμφαίνει

Μὴ καὶ ὑπὲρ μοῖραν 35) δόμον ἄϊδος ἐισαφίκηαι.

Συνίσταιτο δ' ἂν ἥδε ἡ δόξα καὶ ὑπὸ 36) τοὺς μάντεις, ἐν οἷς προλέγουσι μὴ πάντα ἐπιτυγχάνειν. Ἐι δὲ μὴ τήνδε τὴν δόξαν περὶ τῆς ἑιμαρμένης τοὺς ἀνθρώπους ἔχειν συμβέβηκε, θαυμαστὸν ὀυδέν. Οἱ γὰρ πολλοὶ τοῖς μὲν τύποις οὐ κακῶς περὶ τῶν πραγμάτων στοχάζονται, ἐν δὲ τοῖς καθ' ἕκαστα καὶ ἐν τῷ διορίζειν τε καὶ ἐξακριβοῦν πολλὰ διαμαρτάνουσι· τὸ μὲν γὰρ φύσεως, τὸ δὲ ἐπιστήμης ἔργον. Ἤδη δὲ τοῦ τῆς ἑιμαρμένης ὀνόματος Ἀριστοτέλης μνημονεύει καὶ ἐν τῷ πρώτῳ τῶν μετεωρολογουμένων 37) ὁύτως· „Ἀλλὰ „πάντων τούτων ἀίτιον ὑπολείπεται, ὅ, τι γίγνεται „διὰ χρόνων ἑιμαρμένων· οἷον ἐν ταῖς κατ' ἐνιαυτὸν „ὥραις χειμὼν, ὁύτω περιόδου τινὸς μεγάλης, μέγας „χειμών 37)." Ἔοικε δὲ διά τε τούτων τὴν ἑιμαρμένην τὴν φύσιν λέγειν· ὅυτοι γὰρ ἑιμαρμένοι χρόνοι, χειμών τε καὶ τῶν ἄλλων, οἱ φυσικὰς τὰς ἀνταποδόσεις ἔχοντες, οὐκ ἔχουσιν ἀυτὰς ἀπαραβάτους τε καὶ κατηναγκασμένας. Ἀλλὰ καὶ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως ὁύτως πάλιν ἑιμαρμένης μνημονεύει· „Ἆρα ὀῦν καὶ γενέσεις ἐισὶ βίαιοι καὶ οὐχ „ἑιμαρμέναι, αἷς ἐναντίαι αἱ κατὰ φύσιν." Δἰ ὧν πάλιν, ὅτι τῷ τῆς ἑιμαρμένης ὀνόματι ἐπὶ τῶν κατὰ φύσιν γιγνομένων χρῆται, γνώριμον. Ἐι γὰρ μὴ τῷ ἑιμαρμένῳ φασὶν ἐῖναι ἐναντίον τὸ κατὰ φύσιν, τῷ δὲ παρὰ τὴν ἑιμαρμένην τὸ καθ' ἑιμαρμένην ἐναντίον, τἀυτὸν ἂν ἐίη τῷ κατὰ φύσιν τὸ καθ' ἑιμαρμένην. Οὐ γὰρ δὴ πλείω οἷόν τε ἑνὶ ὄντι τῷ μὴ καθ' ἑιμαρμένην ἐναντία λέγειν ἐῖναι, τό τε καθ' ἑιμαρμένην

multa etiam praeter Parcam fieri et praeter Fatum, ut alicubi poëta ostendit inquiens

Non praeter Fatum tenebras penetrabis Averni.

Haec enim opinio vatibus favebit, in quibus praedicunt non omnia se assequi. Quod si non hanc opinionem homines de Fato habere contingit, non est mirum. Multitudo enim in nominum formationibus quidem non male res assequitur, in particulari vero et in definiendo et exactius examinando plerumque errat ac labitur. Illud enim naturae, hoc scientiae opus est. Iam vero de nomine Fati Aristoteles mentionem facit in primo Meteororum hoc modo: „Sed „omnium horum causa censenda est, quia fiunt per „tempora fato decreta ac certa, velut in tempestati„bus anni hiems, et in ambitu temporum maiore „magna hiems." Videtur autem dicere Fatum naturam esse, haec enim sunt tempora Fato decreta ac statuta, hiems et reliqua, quae naturales cum habeant mutationes, non habent ipsas inevitabiles et coactas. Quin etiam in quinto Naturalis auscultationis ita rursum meminit de Fato: „Num ne igitur „etiam generationes violentae sunt et non statutae „Fato, quibus contrariae sunt naturales?" Et iterum liquet eum Fati nomine in rebus quae naturaliter fiunt, uti. Si enim rei Fato non decretae dicit contrarium esse id quod secundum naturam est, illi vero quod est secundum Fatum id quod non est secundum Fatum contrarium est; ergo idem erit id quod secundum naturum est cum eo quod est secundum Fatum. Non enim possibile est ut uni quod est non secundum Fatum plura contraria esse dicantur. Et id quod secundum Fatum est, aperte ipsi

προδήλως ὂν ἐναντίον αὐτῷ, καὶ τὸ κατὰ φύσιν μὴ ἄλλο ὂν τοῦ καθ᾽ εἱμαρμένην. Φανερώτατα δὲ Θεόφραστος δείκνυσι ταὐτὸν ὂν τὸ καθ᾽ εἱμαρμένην τῷ κατὰ φύσιν ἐν τῷ Καλλισθένει [38]), καὶ Πολύζηλος [39]) δὲ ἐν τῷ οὕτως ἐπιγραφομένῳ περὶ εἱμαρμένης συγγράμματι.

contrarium est, et quod est secundum naturam non diversum est ab eo quod est secundum Fatum. Apertissime vero Theophrastus ostendit in Callisthene idem esse quod secundum Fatum est cum eo, quod est secundum naturam, Polyzelus quoque in libro qui de Fato inscribitur.

ʼΑΜΜΩΝΙΟΥ ΤΟΥ ʽΕΡΜΕΙΟΥ

ʼΕΙΣ ΤΟ ΤΟΥ ʼΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ʽΕΡΜΗΝΕΙΑΣ

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ ʽΥΠΟΜΝΗΜΑ.

α.

Τῶν οὖν εἰρημένων τριῶν ἀντιθέσεως [1]) κατὰ πάντα χρόνον ὁμοίως ἐχουσῶν κατὰ τὸ ποιεῖν ἀντίφασιν ἢ μὴ ποιεῖν, τὰς καθʼ ἕκαστα προτάσεις φησὶν ὁ ʼΑριστοτέλης ἐπὶ μὲν τῆς ἀναγκαίας ὕλης, καὶ ἀδυνάτου διαιρεῖν κατὰ πάντα χρόνον ὡρισμένως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. Κατὰ μὲν γὰρ τὴν ἀναγκαῖαν ὕλην τὴν μὲν κατάφασιν ἀληθεύειν ἀνάγκη, τὸ ἀναγκαίως ὑπάρχον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν ψεύδεσθαι, ἅτε ἀναιροῦσαν τὸ ἀναγκαίως ὑπάρχον· κατὰ δὲ τὴν ἀδύνατον τὴν μὲν κατάφασιν ψεύδεσθαι τὸ ἀδύνατον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν, ἅτε ἀναιροῦσαν αὐτὸ, ἀληθεύειν. Κατὰ δέ γε τὴν ἐνδεχομένην ὕλην, οὐκέτι φησὶν ὁμοίως αὐτὰς ἔχειν κατὰ πάντα χρόνον λαμβανομένας πρὸς τὴν διάκρισιν τοῦ τε ἀληθοῦς καὶ τοῦ ψευδοῦς. ʼΕπὶ μὲν γὰρ τοῦ παρεληλυθότος καὶ τοῦ ἐνεστῶτος, ἅτε δὲ [2]) τοῦ πράγματος ἐκβεβηκότος, περὶ οὗ ὁ λόγος, φανερὸν εἶναι τῶν καθʼ ἕκαστα προτάσεων τήν τε ἀληθεύουσαν καὶ τὴν ψευδομένην. ʼΕι γὰρ τύχοι λουόμενος, ἢ λουσάμενος χθὲς ὁ Σωκράτης, ἡ μὲν κατάφασις ἀληθεύει ἡ λέγουσα, Σωκράτης χθὲς

AMMONII HERMIÆ
COMMENTARIUS
IN SECTIONEM II. LIBRI ARISTOTELIS.
De Interpretatione Parte octava.

(*Hugone Grotio interprete.*)

§. 1.

Cum igitur tres praedictae oppositiones secundum omnem temporis varietatem pari modo se habeant, in eo quod faciant vel non faciant contradictiones, affirmat Aristoteles enuntiationes particulares in materia quidem necessaria et impossibili verum et falsum definite dispescere aut distribuere secundum omne tempus. Cum enim materia sit necessaria, necesse est Affirmationem veram esse, aientem quippe illud esse quod necessario est, Negationem vero falsam esse, ut quae tollat istud, quod necessario exsistit. Cum vero materia sit impossibilis, aeque necesse est Affirmationem falsam essse, aientem quippe illud esse, quod est impossibile *). In materia vero ancipite non eodem modo habere se dicit enuntiata quovis sumta tempore in differentia veri et falsi. Nam in praeterito tempore ac praesenti, quippe cum iam res de qua sermo est, evenit, apertum esse alteram de re quaque enuntiationem esse veram, falsam vero alteram. Nam si aut

---

*) Hic demum incipit Hugonis Grotii versio. Initium Capitis dedimus ex interpretatione editoris Londinensis.

ἐλούσατο· ἡ δὲ ἀπόφασις ἀναιρεῖν πειρωμένη τὸ ὑπάρχον ἢ ὑπάρξαν, δῆλον ὅτι ψευδὴς ἔσται· καὶ εἰ τύχοι μὴ λουόμενος, ἢ μὴ λελουμένος, τῇ προτεραίᾳ δηλονότι, τὴν μὲν ἀπόφασιν κατὰ τὸν ἐνεστῶτα χρόνον, καὶ τὸν παρεληλυθότα λαμβανομένην ἀληθεύειν ἀνάγκη, τὴν δὲ κατάφασιν ὑπάρχειν ἢ ὑπάρξαι λέγουσαν τὸ μὴ ἐκβεβηκὸς, ψεύδεσθαι. Κατὰ δέ γε τὸν μέλλοντα χρόνον, διαιρεῖν μὲν καὶ οὕτω φησὶ τὰς καθ' ἕκαστα προτάσεις τό, τε ἀληθὲς καὶ τὸ ψεῦδος, οὐκέτι μέντοι ὁμοίως ταῖς κατὰ τὸν ἐνεστῶτα χρόνον, ἢ τὸν παρῳχηκότα λαμβανομέναις. Οὐ γὰρ ἔτι ὡρισμένως ἐστὶν εἰπεῖν, ποτέρα μὲν αὐτῶν ἀληθεύσει, ποτέρα δὲ ψεύσεται, οὕτω τοῦ πράγματος ἐκβεβηκότος, δυναμένου μέν τοι καὶ ἐκβῆναι καὶ μὴ ἐκβῆναι.

β.

Τοῦτο μέν τοι τὸ θεώρημα τὸ νῦν ὑπ' Ἀριστοτέλους κινούμενον, δοκεῖ μὲν εἶναι λογικὸν, κατὰ ἀλήθειαν δὲ πρὸς πάντα τὰ μόρια τῆς φιλοσοφίας ἐστὶν ἀναγκαῖον· κατά τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν πᾶσαν ἀνάγκη προςλαμβάνειν, ὡς οὐ πάντα ἐστί τε καὶ γίνεται ἐξ ἀνάγκης, ἀλλ' ἔστι τινὰ καὶ ἐφ' ἡμῖν. Ἐπεὶ γὰρ κύριοι πράξεων τινῶν ὄντες, καὶ ἐφ' ἡμῖν ὂν ἑλέσθαι ἢ μὴ ἑλέσθαι τάδε τινὰ, καὶ πρᾶξαι ἢ μὴ πρᾶξαι, τὰς μὲν ἐπαινετὰς, τὰς δὲ ψεκτὰς εἶναι τῶν τε προαιρέσεων καὶ τῶν πράξεων λέγομεν, καὶ περιτρέπειν [1]) μὲν τοὺς πέλας ἀξιοῦμεν ἐπὶ τὰς καλὰς καὶ ἀγαθὰς πράξεις, ἀποτρέπειν δὲ ἐκ τῶν ἐναντίων. Καὶ μέν τοι καὶ πρὸς φυσιολογίαν χρήσιμον φαίνεται τὸ θεώρημα. Ζητήσει γὰρ καὶ ὁ φυσιόλογος εἴτε πάντα ἐξ ἀνάγκης γίνεται τὰ γινόμενα, εἴ τέ τινα ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου. Καὶ πρὸς τὴν λογικὴν μέθοδον ὡσαύτως. Αὐτὸ γοῦν τοῦτό ἐστι τὸ νῦν ζητούμενον, εἴτε πᾶσα ἀντίφασις ἀφωρισμένως διαιρεῖ τὸ ἀληθὲς παὶ τὸ ψεῦδος, εἴτε ἔστι τὶς καὶ ἀορίστως ταῦτα διαιροῦσα. Ἐκτεινόμενον

lavetur nunc; aut heri lotus sit Socrates, vera erit aiens enuntiatio: Socrates lavat, Socrates heri lavit; negans vero oratio, quae auferre nititur id quod est aut fuit, manifesto falsa est. Contra si neque lavet nunc, neque heri laverit Socrates, negantem enuntiationem sive de praesenti, sive de praeterito sumtam veram esse necesse est, contra eam quae id ait esse aut fuisse, quod nec est, nec fuit, falsam. Circa tempus vero futurum dicit etiam in eis enuntiationes de re quaque aut veras esse aut falsas, non tamen eodem modo quo circa tempus aut praesens aut praeteritum. Neque enim definite dici potest, utra earum vera sit futura, utra falsa, quamdiu res non evenit, potestque vel evenire vel non evenire.

§. 2.

Ista quae hic ab Aristotele movetur quaestio videtur quidem ad hanc disputandi artem pertinere: caeterum ad omnes philosophiae partes usum habet necessarium. Nam ad moralem partem sapientiae omnino id assumi necesse est, non omnia ex necessitate esse ac fieri, sed esse et quaedam in nostra potestate. Quia enim quarundam actionum sumus domini, et in nobis est haec talia deligere aut non deligere, facere aut non facere, ideo quosdam dilectus esse laudabiles, alios vituperari dignos dicimus, itidemque actiones. Et ad honestas quidem et probas alios volumus adhortari, dehortari vero a contrariis. Verum etiam ad naturae cognitionem utilis videtur haec quaestio. Nam et naturae scrutator solet quaerere an omnia ex necessitate fiant, an vero nonnulla forte et casu. Sed neque minus ad disputandi artem hoc pertinet. Hoc ergo iam quaeritur, an omnis repugnantia enuntiationum definite se dispescat in verum et falsum, an quaedam indefinite. Sed et in primam sapientiam

δὲ τὸ θεώρημα καὶ ἐπὶ τὴν πρώτην φιλοσοφίαν [1] a) *εὑρήσεις. Ζητήσει γὰρ καὶ ὁ θεόλογος, κατὰ τίνα τρόπον ὑπὸ τῆς προνοίας διακυβερνᾶται τὰ ἐν τῷ κόσμῳ πράγματα, καὶ εἴτε πάντα ὡρισμένως καὶ ἐξ ἀνάγκης γίγνεται τὰ γιγνόμενα, καθάπερ τὰ ἐπὶ τῶν ἀϊδίων ὑπάρχοντα, ἤ ἐστι τινὰ καὶ ἐπὶ ἐνδεχομένων ἐκβαίνοντα, ὧν τὴν γένεσιν ἐπὶ μερικὰς δηλονότι καὶ ἄλλοτε ἄλλως ἐχούσας αἰτίας ἀνάγειν ἀνάγκη.*

Καὶ οὐδὲ τοὺς πάνυ ἰδιωτικῶς διακειμένους τῶν ἀνθρώπων εὑρήσεις ἀμελοῦντας τῆς περὶ τούτου τοῦ θεωρήματος ἐννοίας, ἀλλὰ τοὺς μὲν ὡς πάντων ἐξ ἀνάγκης γιγνομένων τὰς αἰτίας ὧν ἁμαρτάνουσιν ἐπὶ τὴν εἱμαρμένην ἢ τὴν πρόνοιαν, τήν τε θεῖαν καὶ τὴν δαιμονίαν ἀναφέρειν πειρωμένους, καθάπερ ὁ ἀπαιδεύτως παρ᾽ Ὁμήρῳ λέγων

- - - - - Ἐγὼ δ᾽ οὐκ αἴτιός εἰμι 2)
Ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐριννύς.

τοὺς δὲ, ὡς ὄντων τινῶν καὶ ἐφ᾽ ἡμῖν, ἀπομαχομένους μὲν τοῖς πάντα ἀναγκάζουσιν, ἀξιοῦντας δὲ ἡμᾶς ὡς αὐτοκινήτους παιδείας τε καὶ ἀρετῆς ἐπιμέλειαν ποιεῖσθαι.

γ.

Τοσαύτην οὖν δύναμιν ἔχοντος τοῦ θεωρήματος πρὸς πάντα ἡμῶν τὸν βίον ἀναγκαῖον, ἡγοῦμαι τῶν πάντα ἀναγκάζειν [1]) *πειρωμένων λόγων τοὺς δοκοῦντας παρέχειν τινὰ τοῖς ἀκούουσιν ἀπορίαν ἐκθέσθαί τε καὶ διαλῦσαι· δύο δὲ τούτων ὄντων, τοῦ μὲν λογικωτέρου, τοῦ δὲ πραγματειωδεστέρου, ὁ μὲν λογικώτερως προάγεται ὡς ἐπί τινος ἡμῶν ἐνεργείας, οἷον τῆς κατὰ τὸ θερίζειν τὸν τρόπον τοῦτον. Ἐι θεριεῖς, φησὶν* [2]), *οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς, καὶ ἐι μὴ θεριεῖς, οὐχὶ τάχα μὲν θεριεῖς, ἀλλὰ πάντως οὐ θεριεῖς· ἀλλὰ μὴν ἐξ ἀνάγκης ἤ τοι θεριεῖς, ἢ οὐ θεριεῖς. Ἀνῄρηται ἄρα τὸ τάχα, εἴπερ*

extendi hanc quaestionem facile intelligas. Nam et Theologus quaeret quemadmodum Providentia res humanas gubernet, etiam an omnia definite et ex necessitate fiant quae fiunt, ut illa quae insunt rebus aeternis, an vero sint et quaedam eventus ancipitis, quorum originem ad causas particulares et alio tempore aliter se habentes referre oporteat.

Sed neque plane rudes reperias cogitationes super hanc quaestionem negligere; sed et hos quidem, tanquam omnia fiant necessario ea quae peccant imputare Fato, aut providentiae divinae aut geniali, ut ille qui inscite apud Homerum dicit

- - - - - *Non hic ego causa, sed ipse*
Iupiter ac Fatum quaeque aëre regnat Erinnys.

Alios vero, velut aliquid sit in nostra potestate, opponere se omnia necessitati subiicientibus, velle autem ut nos ipsi, utpote qui a nobis ipsis moveamur, curam sumamus institutionis et virtutis.

§. 3.

Cum ergo haec quaestio tantam vim habeat ad omnem vitam, operae pretium mihi esse videtur argumenta necessitati cuncta supponere volentium ea quae maxime audientibus negotium facere possunt, et exponere et dissolvere. Cum autem argumenta eius generis sint duo, alterum magis in disputatione et verbis, alterum magis in rebus est positum; illud quod est disputatorium, materiam capit ab aliqua nostrarum actionum, puta messione, in hunc modum. Si metes, non forte metes et non metes, sed omnino metes, et si non es messurus, pari modo non forte metes, forte non metes, sed omnino non metes.

μήτε κατὰ τὴν ἀντίθεσιν τοῦ θεριεῖν πρὸς τὸ μὴ θεριεῖν ἔχει χώραν, ἐξ ἀνάγκης τοῦ ἑτέρου τούτων ἐκβαίνοντος, μήτε κατὰ τὸ ἑπόμενον ὁποτέρᾳ οὖν τῶν ὑποθέσεων. Τὸ δὲ τάχα ἦν τὸ εἰςφέρον τὸ ἐνδεχόμενον· οἴχεται ἄρα τὸ ἐνδεχόμενον. Πρὸς τοῦτον οὖν τὸν λόγον ῥᾴδιον ἀπαντᾷν, λέγοντας, ὡς ὅταν φάσκητε τὸ, εἰ θεριεῖς, οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς, πῶς ἀξιοῖτε ὑποτίθεσθαι τὸ θεριεῖν, ὡς ἀναγκαῖον, ἢ ὡς ἐνδεχόμενον; Εἰ μὲν γὰρ ὡς ἐνδεχόμενον, ἔχομεν τὸ ζητούμενον· εἰ δὲ ὡς ἀναγκαῖον, πρῶτον μὲν αὐτὸ αἰτεῖτε τὸ ἐξ ἀρχῆς ζητούμενον συγχωρεῖσθαι ὑμῖν ὡς ἐναργές. Ἔπειτα ἀληθὲς μὲν ἔσται τὸ πάντως θεριεῖν, οὐκέτι μέν τοι χώραν ἕξει τὸ λέγειν· ἀλλὰ μὴν ἤτοι θεριεῖς ἢ οὐ θεριεῖς. Πῶς γὰρ τοῦ ἑτέρου τούτων ἐκβαίνοντος ἀναγκαίως, τοῦ δὲ ἑτέρου δηλονότι ἀδυνάτου ὄντος, χώραν ἔχει τὸ λέγειν, ἀλλὰ μὴν ἢ τόδε ἐστὶν ἢ τόδε; ὥςτε οὐ πρόεισιν αὐτὴ τέως αὐτοῖς ἡ ἐπιχείρησις.

δ.

Ὁ δέ γε ἕτερος τῶν λόγων οὕτως ὢν πραγματειώδης καὶ δυςανεπίβλεπτος, ὥςτε καὶ πολλοὺς τῶν ἐπιστατικωτέρων εἶναι δοκούντων ἀπάγεσθαι πρὸς τὴν ἀναιροῦσαν τὸ ἐνδεχόμενον δόξαν, πρόεισιν ἐκ διαιρέσεως τοιαύτης. Οἱ θεοί, φασιν, ἤτοι ὡρισμένως ἴσασι τὴν ἔκβασιν τῶν ἐνδεχομένων, ἢ παντάπασιν οὐδεμίαν αὐτῶν ἔχουσιν ἔννοιαν, ἤ, καθάπερ ἡμεῖς, ἀόριστον αὐτῶν ἔχουσι τὴν γνῶσιν· ἀλλ' ἀγνοεῖν μὲν οὐδὲν τῶν ὄντων αὐτοὺς ἐνδέχεται, τὰ πάντα παραγαγόντας τε καὶ διακοσμοῦντας, νοῦς τε παντελῶς ἀμιγεῖς πρὸς ὕλην ὄντας· μᾶλλον δὲ εἰ χρὴ τὸ ἀκριβέστερον φᾶναι, καὶ ὑπὲρ τὴν νοερὰν αὐτὴν ἰδιότητα [1]), τὴν ὄντως ἑαυτῶν ὕπαρξιν ἱδρυμένους. Οὔτε γὰρ αὐτόματον ἐροῦμεν εἶναι τῶν ὄντων τὴν φύσιν τε καὶ

Perit igitur illud forte, quando nec in oppositione metendi et non metendi locum habet, cum alterutrum horum necessario sit eventurum, neque in eo quod consequens est utrivis parti istius disiuncti; at illud forte erat unde inferebatur ambiguum eventus, aufertur ergo et illud ambiguum. Huic argumento facile obviam ibitur, si dicamus: cum vos hoc dicitis, si metes non forte metes, forte non metes, quomodo velitis ponere illud metes; an ut necessarium, an ut eventus ambigui? Si ut eventus ambigui, iam habemus id quod quaerimus, si vero ut necessarium, iam primum id vobis vultis concedi ut perspicuum, quod ipsum in quaestione est. Deinde sic verum erit omnino hunc esse messurum, neque locum habere poterit illud, quod ab ipsis dicitur: at vero aut metes, aut non metes. Quomodo enim, cum alterum sit necessario, alterum sit eorum quae fieri nequeant, locus sit isti locutioni? At vero aut hoc erit aut istud, ita ut non procedat illis quod modo conabantur.

§. 4.

Alterum vero argumentum in rebus est positum, tantamque in se difficultatem habet, ut multos etiam eruditos coëgerit concedere sententiam, quae ancipites eventus tollit. Procedit autem ex tali partitione: Dii, aiunt, aut definitè norunt eventus ancipitium, aut nullam omnino de iis habent perceptionem, aut habent cognitionem indefinitam, sicut nos. Atqui credi non debet ignorare aliquid rerum eos qui cuncta producunt ac gubernant, qui mentes sunt omnino impermixtae cum materia, aut potius, si loquendum est exactius, qui vere super ipsam proprietatem intelligentem exsistentiam suam collocatam habent. Neque enim dicemus aut casu exstitisse hanc rerum naturam atque or-

τάξιν, οὔτε τοὺς θεοὺς εὔλογον ἢ ἀγνοεῖν ἅπερ παράγουσιν, ἢ ὥς τινας ἀφερεπόνους κατολιγωρεῖν τῆς τε γνώσεως αὐτῶν καὶ τῆς διακοσμήσεως. Τὸ γὰρ ὑπολαμβάνειν ὡς ἐργώδη τε καὶ ἄσχολον ποιοῦμεν τὸν τῶν θεῶν βίον, καὶ ἄμοιρον τῆς τοῖς θεοῖς προσηκούσης ἔμφρονος ῥαστώνης [1] a), ἐπιμελεῖσθαι τῶν κατὰ μέρος αὐτοὺς ἀποφαινόμενοι [2]), μὴ συνεωρακότων ἐστὶ τὴν ὑπεροχὴν τῆς τῶν θεῶν γνώσεώς τε καὶ δυνάμεως πρὸς τὴν ἡμετέραν, καὶ διὰ τὴν ἄγνοιαν ταύτην ἀξιούντων ἐκ τῶν περὶ ἡμᾶς τὰ κατὰ τοὺς θεοὺς σταθμᾶσθαι, καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐπ᾽ ἐκείνους μεταφέρειν· ὡς τοῦ μὲν βασιλέως ἡλίου [2] a) ἅπαντα ἅμα τὰ ἐν τῷ κόσμῳ καταλάμπειν δυναμένου (πλὴν ἐι μή τισιν ἀντιφράττοιτό [3]) ποτέ τινα τῶν μὴ διαφανῶν ἀλλὰ στερεῶν σωμάτων) τῆς δὲ ἀσωμάτου καὶ παντάπασιν ἀΰλου τῶν θεῶν δυνάμεως οὐ δυναμένης ἀπαραποδίστως τε καὶ ἀθρόως ἅπασιν ἅμα παρεῖναι τοῖς ὖσιν, οὐδενὸς ἀντιφράττειν αὐτῇ δυναμένου, πλὴν τῆς ἡμετέρας ἀνεπιτηδειότητος [3] a)· οὐδὲ τότε κατ᾽ ἀλήθειαν τῆς προνοίας τῶν θεῶν παραποδιζομένης, οὐ πρὸς τὴν γνῶσιν τῶν καθ᾽ ἡμᾶς, ἢ πρὸς τὴν ἐπιμέλειαν, ἀλλὰ ἡμῶν αὐτῶν παραπλήσια πασχόντων τοῖς ὑπὸ τὸ φῶς τὸ ἡλιακὸν καθεύδουσιν, ἢ καὶ μύουσιν. Ὥςπερ γὰρ ἐκεῖνοι τῆς μὲν θερμότητος τῆς ἀπὸ τοῦ ἡλίου τοῖς τῇδε παρεχομένης τυγχάνουσι, τῆς δὲ φωτιστικῆς αὐτοῦ δυνάμεως ἑαυτοὺς ἀποστεροῦσι διὰ τὴν οἰκείαν αἵρεσιν, ἀλλὰ οὐ διά τινα τοῦ θεοῦ μῆνιν ἀναστέλλοντος ἀπ᾽ αὐτῶν τὰς οἰκείας ἀκτῖνας, οὕτω καὶ οἱ διά τινα κακοζωΐαν ἔξω τῆς προνοίας τῶν θεῶν λεγόμενοι πίπτειν, οὐ παντάπασίν ἐισιν αὐτῆς ἔξω. Οὐ γὰρ ἂν γένοιτό τις, ὅπερ φησὶν ὁ Ἀθηναῖος ξένος [4]), ἢ οὕτω σμικρὸς, ὥςτε καταδὺς ἐις τὸ βάθος τῆς γῆς λαθεῖν τὴν ἅπαντα καὶ τὰ σμικρότατα ἐποπτεύουσαν πρόνοιαν, οὐδὲ οὕτω μέγας [5]), ὥςτε ὑπερπτῆναι τὸν

dinem, aut Deos credibile est vel ignorare quae producant, aut tanquam laboris intolerantes negligere eorum notitiam ac regimen. Nam putare Deorum vitam constitui molestam et negotiosam, et expertem eius non sollicitae tranquillitatis quae Deis conveniat, si eos dicamus curam gerere rerum particularium, id vero eorum est qui non intelligunt excellentiam divinam tum cognitionis tum potentiae supra nostram, et ob eius rei ignorationem volentium ad nostrum modum expendere res divinas, et nostram invalentiam in ipsos transferre Deos; quasi vero possit quidem rex astrorum sol omnia simul quae in mumdo sunt illustrare, nisi forte impingat in aliqua non dilucida, sed compacta corpora, incorporea autem illa et materiei expers Deorum vis non possit una sine impedimento cunctis adesse rebus, cum nulla sit quae ei possit obstare, praeter unam nostram naturam parum idoneam. Quanquam ne nunc quidem, si verum loqui velimus, impeditur Deorum providentia aut in cognitione rerum nostrarum, aut in earum curatione, sed nos ipsi paria patimur ac illi qui sole lucente aut dormiunt aut claudunt oculos. Nam sicut illi calore quidem fruuntur qui a sole datur terram hanc habitantibus, vi autem illuminante semet orbant dilectu proprio, non autem Dei aliqua invidia radios ab eis suos avertentis, sic et qui ob pravum vitae genus dicuntur excedere de Dei providentia, non tamen omnino extra eam sunt. Nemo enim est, ut hospes ille ait Atheniensis, vel ita parvus, ut in profundo terrae descendens latere possit providentiae omnia etiam minima inspectanti; aut tam magnus, ut supra caelum volare possit et se ponere extra regentem cuncta providentiam; sed cum nobis de suo Deorum potestates bona largiri valeant, his

οὐρανὸν κα γενέσθαι ἔξω τῆς διακοσμούσης τὰ ὅλα προνοίας, ἀλλὰ τῶν αὐτόθεν νεμουσῶν ἡμῖν τὰ ἀγαθὰ δυνάμειν τῶν θεῶν ἑαυτοὺς ἀποστερήσαντες, τυγχάνουσιν ἀναγκαίως τῶν διὰ τιμωρίας καὶ κολάσεως περιαγουσῶν αὐτοὺς εἰς τὸ κατὰ φύσιν [6]).

ε.

Τούτων οὖν κατά τε τὰς κοινὰς καὶ ἀδιαστρόφους τῶν ψυχῶν ἐννοίας [1]) ὁμολογουμένων ὄντων καὶ ἐν τῷ δεκάτῳ τῶν Νόμων ἐναργῶς ἀποδεδειγμένων, οὔτε ἀγνοεῖν ἡμέτερα τοὺς θεοὺς δυνατὸν, οὔτ' ἀόριστον αὐτῶν γνῶσιν ἔχειν, ὥςπερ εἰκάζοντας περὶ τῶν ἐκβησομένων. Πρῶτον μὲν γὰρ ὡς Τίμαιος [2]) ἡμᾶς ἐδίδαξε, καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται, καὶ πρὸ τούτων Παρμενίδης, οὐχ ὁ παρὰ Πλάτωνι μόνον, ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν [3]), οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς, οὔτε μέλλον, ἀλλὰ τούτων [4]) μὲν ἑκάτερον οὐκ ὂν, τὸ μὲν οὐκέτι, τὸ δὲ οὔπω, καὶ τὸ μὲν μεταβεβληκὸς, τὸ δὲ πεφυκὸς μεταβάλλειν. Τάδε τοιαῦτα τοῖς ὄντως οὖσι, καὶ μεταβολὴν οὐδὲ κατ' ἐπίνοιαν ἐπιδεχομένοις προσαρμόττειν ἀμήχανον. Προηγεῖσθαι γὰρ ἀνάγκη τὸ παντελῶς ἀμετάβλητον τοῦ ὁπωςοῦν μεταβάλλοντος, ἵνα καὶ μένῃ μεταβάλλον, ὥς τε ἐπὶ θεῶν, ἀρχῆς ἐχόντων πρὸς τὰ ὄντα λόγον [5]), τὸ παρεληλυθὸς ἢ τὸ μέλλον θεωρεῖσθαι ἀδύνατον, ἀλλὰ πάντα παρ' αὐτοῖς ἐν τῷ νῦν ἐστι τῷ αἰωνίῳ ἱδρυμένα, τῶν χρονικῶν μέτρων ἅμα τῇ ὑποστάσει τοῦ παντὸς ἀναφαινομένων, καὶ μόνα μετρούντων τὰ κατὰ χρόνον ἔχοντα ἢ τὴν ὑπόστασιν ἢ τὴν ἐνέργειαν· ὥςτε καὶ τὴν εἰκαστικὴν γνῶσιν πόῤῥω που τῶν θεῶν, καὶ ἐν τῇ ἀποπερατώσει τῆς λογικῆς ζωῆς [7]) ἀπεῤῥίφθαι ἀναγκαῖον. Ἔπειτα πῶς ἂν δόξαιμεν κατὰ βραχὺ γοῦν σωφροσύνης μετέχειν, τῇ γνώσει τῶν θεῶν μηδὲν πλέον ἀξιοῦντες τῆς ἡμετέρας ἀπονέμειν, ἀλλὰ τολμῶντες ἀμφίβολον αὐτὴν καὶ ἀόριστον ὁμολογεῖν; Τῆς γὰρ

se illi privantes incidunt in poenas et supplicia ipsos mutantia in conditionem naturae suae congruentem.

§. 5.

Haec igitur cum ex communibus et non corruptis animorum notionibus per se pateant, et in decimo legum libro (Platonis) perspicue demonstrentur, fieri non potest ut aut ignorent nostra Dii, aut indefinitam de iis habeant notitiam, tanquam coniectantes de futuris. Primum enim sicut Timaeus nos docuit, et ipse Aristoteles de divinis agens pronuntiat, et ante hos Parmenides, non apud Platonem tantum, sed et in propriis carminibus: nihil est apud Deos aut exactum aut futurum, neque horum alterum potest dici esse, quia illud non ultra sit, hoc vero nondum, illud mutatum iam, hoc in proximo ut mutetur. Talia enim iis qui semper sunt et mutationem ne cogitando quidem recipiunt attribuere absonum. Necesse est enim id quod omnino est immutabile antecedat rem quamlibet mutantem, ut ea mutans maneat. Quare eum Dii ad omnia principii habeant rationem, non potest in illis aut praeteritum cogitari aut futurum; sed omnia eis in uno nunc perpetuo sunt collocata, cum temporum mensura una cum Universi huius exstantia coeperit, eisque solis dimetiendis sit apta quae secundum tempus suam habent aut constantiam aut operationem. Quapropter et cognitio coniecturalis longe a Diis releganda, et ad infimos fines vitae rationalis deiicienda est. Et quomodo igitur eo veniemus immodestiae, ut putemus nos eius cognitionis quae apud Deos est esse participes, nihil ei valentes tribuere plus quam nostrae, cum et illam facimus dubiam et indefinitam.

αὐτῆς ἔσται διανοίας, μᾶλλον δὲ ἀνοίας καὶ τῶν ἀλόγων ζώων τὴν γνῶσιν παραβάλλειν πρὸς τὴν ἡμετέραν, μεταδιδόναι δὲ κἀκείνοις τῆς ἀντιλήψεως τῶν καθόλου καὶ τῶν νοητῶν. Ὅλως δὲ, ἐι πᾶσα ἀνάγκη τῶν ὄντων ἁπάντων αἰτίους ἐῖναι τοὺς θεοὺς, ἢ προςαιτίους, πῶς ἂν ἔχοι λόγον ἢ ἀγνοεῖν αὐτοὺς τὰ οἰκεῖα γεννήματα, ἢ τὰ τῶν οἰκείων γεννημάτων ἀποτελέσματα, ἢ τὰ ὑπ' ἐκείνων καθ' ὅιον δήποτε τρόπον γινόμενα, ἢ ὥςπερ οὐδὲν αὐτοῖς προςηκόντων, οὐδὲ ἐπ' αὐτοῖς κειμένων, ἀμφίβολον ἔχειν τὴν γνῶσιν; κατ' οὐδετέρας δὲ τούτων ὑποθέσεων ἐπιμελεῖσθαι τοὺς θεοὺς τῶν περὶ ἡμᾶς δυνατὸν, κατὰ τὸν θεοῖς [7]) προςήκοντα τρόπον τῆς προνοίας. Τοῦτο δέ ἐστιν ἀπ' αὐτῆς τῆς οὐσίας τῶν προνοουμένων ποιουμένους αὐτῶν τὴν ἐπιμέλειαν, καὶ ὥςπερ ἐκ πρύμνης [8]) αὐτὰ διακοσμοῦντας, οὐ τῷ βουλεύεσθαι περὶ αὐτῶν, ὡς οἱ ποιηταὶ λέγουσιν, ἔνδεια γὰρ ἡ βούλευσις φρονήσεως, οὐδὲ τῷ ἄλλοτε ἄλλο βουλεύεσθαι καὶ ποιεῖν, ἀλλότριον γὰρ τοῦτο τῆς μιᾶς καὶ ἁπλῆς καὶ ἀτρέπτου παντάπασιν αὐτῶν ἐνεργείας, καὶ μόνοις προςῆκον τοῖς ὑπὸ χρόνου μετρουμένοις, καὶ μετὰ προαιρέσεως τὰς ἐνεργείας ποιουμένοις, ἀλλ' αὐτῷ, φασι, τῷ εἶναι, καθάπερ ὁ ἥλιος οὐ βουλευόμενος, οὐδὲ κινούμενος, ἀλλὰ τῷ εἶναι καὶ ἀεὶ μένειν ἐπινοηθεὶς, πληροῖ τὰ μετέχειν δυνάμενα τοῦ οἰκείου φωτός. Ὀύτε οὖν τὴν πρόνοιαν αὐτῶν οὕτω γίγνεσθαι δυνατὸν, ὀύτε τὸ εὔχεσθαι καὶ ἱκετεύειν αὐτοὺς ὑπὲρ ὑετοῦ τυχὸν, ἢ σωτηρίας καρπῶν, ἢ νίκης, ὧν τὴν ἔκβασιν ἀγνοοῦσι, πόῤῥω ἂν ἐμπληξίας ἐίη. Ἐι δὲ ταῦτα καὶ ἀδύνατα καὶ ὀύτε λέγειν, ὀύτε διανοεῖσθαι ὅσια, καὶ ὑπ' αὐτῆς ἐλεγχόμενα τῆς πείρας, ὡς αἱ πολύστοιχοι τῶν θείων ἐνεργειῶν πραγματεῖαι καὶ τὰ καθ' ἑκάστην ὡς ἐιπεῖν ἡμέραν γιγνόμενα τοῖς ἐφιστάνειν αὐτοῖς δυναμένοις [9]) σημαίνουσι, δῆλον ὅτι καὶ διατάττεσθαι ὑπὸ τῶν θεῶν τὰ ἐνδεχόμενα ῥητέον καὶ ὡρισμένως

Paris hoc sit cogitationis, imo potius incogitantiae, ac si cognitionem quae penes muta est animantia, cum nostra aequiparemus atque illis etiam tribuamus perceptionem rerum universalium et intellectui soli patentium. Ac plane si necessarium est Deos esse, omnium quae sunt causas unicas vel inter causas, quomodo rationi erit consentaneum, aut ignorare eos suos foetus, aut suorum foetuum opera, aut quae ab eis quovis modo efficiuntur, aut de iis tanquam ad se non pertinentibus, neque in ipsorum potestate positis dubiam habere cognitionem, cum, utrumvis horum ponas, fieri nequeat ut res nostras curent Dii eo curandi modo, qui ipsorum providentiae conveniat? Qui modus is est, ut ex ipsa natura eorum quae curantur curam gerant, et velut ex puppe gubernent, non consultando, sicut de eis loquuntur poëtae (consultatio enim indigentia est prudentiae), nec quod alias alia decernant ac faciant; id enim dissentaneum est ab ipsorum operatione una semper et simplici et immutabili, et solis iis convenit, quae tempus dimetitur, quaeque ex dilectu suas operationes edunt, sed ipso, quod dici solet suo esse, sicut Sol, non consultans neque immutationi obnoxius, sed eo ipso quod est et semper manet, si res recte intelligatur, implet omnia suo lumine quae illud participare sunt idonea. Quod si illo quo dicunt modo consistere potest providentia, precari et sacra facere ad impetrandos puta imbres, aut frugum copiam aut victoriam, quarum nempe rerum eventum Dii ignorent, non longe abest ab insania. Quod si ista sic se habere non possunt, imo et dictu cogitatuque sunt impia, ipsaque experientia refelluntur, ut et multiplicia divinarum operationum negotia, et ea quae fiunt ut ita dicamus quotidie, considerare volentibus ostendunt, dicendum certe ea

γιγνώσκεσθαι αὐτῶν τὴν ἔκβασιν. Μᾶλλον γὰρ ἦν εἰκὸς τὰ αἴδια τῶν πραγμάτων περιορᾶσθαι ὑπ' αὐτῶν, ἔρημα τῆς ἐπιβαλλούσης αὐτοῖς προνοίας, ἢ τὰ ῥευστὴν ἔχοντα φύσιν, εἴπερ ἐκεῖνα μὲν ἀπὸ τῆς ἑαυτῶν φύσεως τὸ ὡρισμένον ἔχει, καὶ ἄτρεπτον, τοιαύτην θέοθεν τὴν ὑπόστασιν εἰληχότα, τὰ δὲ ἐν γενέσει, διὰ τὸ ῥευστὸν τῆς οἰκείας ὕλης, ἐν παντοδαπῇ μεταβολῇ φέρεσθαι πεφυκότα, οὔτ' εἶναι οὔτε συνέχεσθαι καὶ διακοσμεῖσθαι δυνατὸν, μὴ πολλῆς τυχόντα τῆς τῶν ἀεὶ ὡςαύτως ἐχόντων δημιουργικῆς τε καὶ προνοητικῆς αἰτίας, οὐ μόνον τῆς ὁλικωτέρας καὶ ἐξῃρημένης, ἀλλὰ καὶ τινὸς μερικωτέρας καὶ προςεχεστέρας· ὥςπερ καὶ τῶν ἀνθρώπων τοὺς παῖδας ὁρῶμεν πλείονος δεομένους ἐπιμελείας ἢ τοὺς ἄνδρας, καὶ τοὺς ἀνοήτους ἤπερ τοὺς ἔμφρονας. Ἐι δὲ γινώσκουσιν οἱ θεοὶ τὰ ἐνδεχόμενα καὶ ὡρισμένως γινώσκουσιν (ἵνα μὴ, ὅπερ ἐλέγομεν, ἀόριστον αὐτῶν ποιῶμεν τὴν γνῶσιν) καὶ ἴσασιν ὅτι μόνον τὸ ξύλινον τεῖχος σώσει τὰς Ἀθήνας ἐκ τῶν βαρβαρικῶν κινδύνων, καὶ ἡ θεία Σαλαμὶς ἀπολεῖ τὰ τέκνα τῶν γυναικῶν, καὶ ὁ Κροῖσος τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει, καὶ ὁ Λάϊος τεκνοποιῶν ἄρδην ἀνατρέψει πᾶσαν αὐτοῦ τὴν οἰκίαν, δῆλον ὅτι οὐχ οἷόντε ταῦτα μὴ ἐκβαίνειν, ἐι δε μὴ, ψεύδεσθαι αὐτοὺς ἀναγκαῖον. Δυοῖν οὖν θάτερον, ἢ πάντα ἀναγκαίως, καὶ ὡς εἰκὸς ὑπὸ τῶν θεῶν γινώσκεσθαί τε καὶ προλέγεσθαι, φήσομεν ἐκβαίνειν, καὶ τὸ ἐνδεχόμενον ὄνομα ἔσται κενὸν [10]), ἢ οὔτε γινώσκεσθαι ὑπὸ τῶν θεῶν, οὔτε προνοεῖσθαι τὰ τῇδε φήσομεν. Ἀλλὰ μὴν τοῦτο ἀδύνατον· οἴχεται [ἄρα] [11]) τὸ ἐνδεχόμενον.

ϛ.

Πρὸς τοῦτον οὖν τὸν λόγον δυςαντίβλεπτον, ὥςπερ ἐλέγομεν ὄντα καὶ ὑπ' αὐτῆς δοκοῦντα τῆς ἐναργείας κρατύνεσθαι, ὡς αἱ τῶν μαντειῶν προῤῥήσεις δηλοῦ-

quae ancipitia nos dicimus a Diis retineri et eorum eventum definito praenosci. Imo multo magis sit credibile aeterna a Diis deseri et abdicari a propria quadam providentia, quam haec quae fluxam habent naturam, cum illa ex suapte natura habeant non definitam atque immutabilem, quia talem dicuntur accipere exstantiam, haec vero quae sunt genita, ob propriae materiae fluxionem omnimoda mutatione agitari nata neque esse neque contineri, neque ordinari possunt, nisi multum trahant ab efficientia opifice ac provida semper eodem modo se habentium, non tantum illa toti praesidente et suprema, sed et a magis particularibus magisque propinquis; sicut et in humano genere pueros videmus maioris egere curationis quam viros, et improvidos quam prudentes. Quod si norunt Dii futura quae ancipitia dicimus et definito norunt, ne ut dixi, incertam faciamus eorum cognitionem, sed norunt solo muro ligneo salvas fore Athenas a barbarorum impetu, et quod divina Salamis perdet mulierum sobolem, et quod Croesus Halyn penetrans magnam pervertet opum vim, et quod Laius liberos serens funditus suam evertet domum, perspicuum hinc est non potuisse ista non fieri; id enim si esset, necesse erat mentiri Deos. Alterum ergo de his duobus admittendum est, aut omnia necessario fieri, atque ita ut a Diis cognosci praedicique possint, aut quod anceps dicitur, inane esse nomen, neque a Diis aut cognosci aut curari quae hic aguntur. Hoc vero cum esse non possit, tollitur id quod anceps dicitur.

§. 6.

Adversus hoc argumentum, quod diximus esse difficile repugnatu, ideo quod confirmari videatur ab ipsa rerum evidentia, cui et vaticinantium praedictiones

σιν ἀπαντῶντες ἡμεῖς κατὰ τὴν τοῦ θείου Ἰαμβλίχου ὑφήγησιν [1]), τὰ διάφορα μέτρα τῶν γνώσεων διαιρεῖν ἀξιώσομεν λέγοντες, ὡς ἡ γνῶσις μέση οὖσα τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου, εἴπερ ἐστιν ἐνέργεια τοῦ γινώσκοντος περὶ τὸ γινωσκόμενον, οἷον τῆς ὄψεως περὶ τὸ λευκὸν, ποτὲ μὲν κρειττόνως γινώσκει τὸ γινωσκόμενον τῆς αὐτοῦ τοῦ γνωστοῦ φύσεως, ποτὲ δὲ χειρόνως, ποτὲ δὲ συστοίχως. Ὅτι μὲν γὰρ τὸν νοῦν τὸν ἡμέτερον τὰς πολιτικὰς τῶν πράξεων προχειριζόμενον, λέγομεν γινώσκειν τὰ καθέκαστα τῶν πραγμάτων ἀναφέροντες ταῦτα ἐπὶ τὰ καθόλου, καὶ δι᾽ ἐκείνων ὡς οἰκείων γινώσκειν αὐτὰ πειρώμενον, δῆλον ὅτι κρείττονα ταῦτα ἐροῦμεν εἶναι τοῦ γινωσκομένου τὴν γνῶσιν, εἴπερ μεριστὸν μὲν καὶ ἐν μεταβολῇ τὸ καθ᾽ ἕκαστον, ὁ δὲ λόγος καθ᾽ ὃν ταῦτα ὁ νοῦς ὁ πρακτικὸς γινώσκει, ἀδιαίρετός τε καὶ ἀμετάβλητος. Ὅταν δὲ αὐτὸς πρὸς ἑαυτὸν ἐπιστρεφόμενος καὶ κατὰ τὰς καθαρτικὰς ἐνεργῶν ἀρετὰς τὴν οὐσίαν τὴν ἑαυτοῦ θεωρῇ, σύστοιχον εἶναι ἀνάγκη τῷ γινωσκομένῳ τὴν γνῶσιν. Ὅταν δέ γε ἀνελθὼν ἐπὶ τὸ ἀκρότατον τῆς ἑαυτοῦ τελειότητος καὶ τὰς θεωρητικὰς τῶν ἀρετῶν προχειριζόμενος θεωρῇ τὰ περὶ τῶν θείων διακοσμήσεων, καὶ ὅπως ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς αὐταὶ παράγονται, καὶ τίς ἑκάστης ἡ ἰδιότης, χείρονα εἶναι ἀνάγκη τοῦ γινωσκομένου τὴν γνῶσιν. Τούτων οὖν οὕτως ἐχόντων, ῥητέον τοὺς θεοὺς γινώσκειν μὲν πάντα τὰ γεγονότα, καὶ τὰ ὄντα, καὶ τὰ ἐσόμενα ἢ μέλλοντα τὸν θεοῖς προσήκοντα τρόπον, τοῦτο δέ ἐστι μιᾷ καὶ ὡρισμένῃ καὶ ἀμεταβάτῳ [2]) γνώσει, διόπερ καὶ τῶν ἐνδεχομένων περιειληφέναι τὴν εἴδησιν, ἅτε καὶ πάντα τὰ ἐν τῷ κόσμῳ παράγοντας, καὶ τῶν μὲν ἀϊδίων οὐσιῶν αἰτίους ὄντας, τῶν δὲ γεννητῶν προσαιτίους, κατὰ τὰς οἰκείας ἑκάστοις αὐτῶν ἐνεργείας, καὶ οἷον ὁρῶντας οὐκ αὐτὰς μόνον τὰς οὐσίας, ἀλλὰ καὶ

testimonium praebent, nos contra euntes ex disciplina divini Iamblichi diversas cognitionis mensuras distinguentes dicemus, cum cognitio medium quid sit inter quod cognoscit, et quod cognoscitur (est enim actio cognoscentis circa id quod cognoscitur sicut actio visus est circa album) interdum illa melius cognoscit id quod cognoscitur, quam est rei cognoscendae natura, interdum peius, interdum pariliter. Nam cum mentem nostram res civiles tractantem dicimus cognoscere res singulas referendo eas ad universalia, et per haec ut sibi proprias istas illas perspicere conando, certe hic cognitionem dicemus esse potiorem re cognita, siquidem partibiles et in mutatione positae res singulae: at ratio per quam mens activa istas noscit, impartibilis atque immutabilis. Ubi vero mens in se conversa, et secundum virtutes operans purgatrices suam conspicit substantiam, tunc parilem necesse est esse cognitionem cum eo quod cognoscitur. Ubi vero mens eadem scandens ad suae perfectionis fastigium, et contemplativas virtutes tractans speculatur ea quae ad divinas gubernationes pertinent, et quo modo illae omnes ex uno communi omnium principio procedant, et quae cuiusque proprietas, tum necesse est cognitionem deteriorem esse eo quod cognoscitur. Haec cum ita se habeant, dicendum est Deos nosse quidem omnia quae fuere et quae sunt, et quae imminent aut eventura sunt, eo modo qui Diis conveniat, hoc est una ac definita ac immutabili cognitione, unde et rerum ancipitium cognitionem eos complecti, ut qui omnia quae in Mundo sunt, producant, et rerum aeternarum unicae sint causae, eorum vero quae gignuntur causae adiutrices secundum proprias cuique eorum operationes, et tanquam qui introspectent non tantum rerum substantias, sed

τὰς δυνάμεις αὐτῶν καὶ τὰς ἐνεργείας, τάς τε κατὰ φύσιν καὶ τὰς παρὰ φύσιν, ὅπερ παρὰ φύσιν [3]) συνεισῆλθε τῇ ἀναγκαίᾳ τῆς ὑποβάσεως τῶν ὄντων ὑφέσει, τοῖς καὶ τούτου μετέχειν ποτὲ πεφυκόσιν, οὐ προηγουμένως, ἀλλὰ κατὰ τὸν λεγόμενον τῆς παρυποστάσεως τρόπον, γινώσκειν μέν τοι τὰ ἐνδεχόμενα κρειττόνως τῆς αὐτῶν ἐκείνων φύσεως, διόπερ ταῦτα μὲν ἀόριστον ἔχοντα τὴν φύσιν, δύνασθαί τε ἐκβαίνειν καὶ μὴ ἐκβαίνειν, ἐκείνους δὲ ἅτε κρειττόνως τῆς φύσεως αὐτῶν τὴν γνῶσιν αὐτῶν προειληφότας, ὡρισμένως καὶ ταῦτα εἰδέναι [4]). Καὶ γὰρ τὰ μεριστὰ τῶν πραγμάτων ἀμερίστως καὶ ἀδιαστάτως γινώσκειν αὐτοὺς ἀναγκαῖον καὶ τὰ πεπληθυσμένα ἑνοειδῶς, καὶ τὰ ἔγχρονα αἰωνίως, καὶ τὰ γεννητὰ ἀγεννήτως. Οὐ γὰρ συμπαραθεῖν τῇ ῥύσει τῶν πραγμάτων τὴν τῶν θεῶν γνῶσιν ἀνεξόμεθα λέγειν, οὐδὲ εἶναί τε ἐπ' ἐκείνων ἢ παρεληλυθὸς, ἢ μέλλον, οὐδὲ λέγεσθαι ἐπ' αὐτῶν; ὡς ἐν Τιμαίῳ παρειλήφαμεν, τὸ ἦν ἢ τὸ ἔσται, μεταβολῆς τινος ὄντα σημαντικὰ, μόνον δὲ τὸ ἔστι, καὶ τοῦτο οὐ τὸ συναριθμούμενον τῷ τε ἦν καὶ τῷ ἔσται, καὶ ἀντιδιαιρούμενον αὐτοῖς, ἀλλὰ πρὸ πάσης χρονικῆς ἐμφάσεως ἐπινοούμενον, καὶ τὸ ἄτρεπτον αὐτῶν καὶ ἀμετάβλητον σημαῖνον, ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ νοητῷ ὑπάρχειν ἀποφαίνεται·

Οὐ γὰρ ἔην [5]), οὐδ ἔσται (φησὶν) ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον.

Καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαίαν ἕξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα, διὰ τὰ ὑπὸ τῶν θεῶν [6]) γινώσκεσθαι ὡρισμένως, οὐ γὰρ διότι γινώσκουσιν αὐτὰ οἱ θεοὶ, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ' ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον, πέρας ἕξει πάντως ἢ τοῖον, ἢ τοῖον, διὰ τοῦτο τοὺς θεοὺς εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. Καὶ ἐστὶ τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τῶν

etiam earum potestates atque actus, tum qui secundum naturam, tum qui praeter naturam sunt, quae quidem praeter naturam dicta necessario cohaerent submissis rerum gradibus in iis rebus quae natae sunt etiam talis rei participes, non principaliter, sed per eum modum qui dicitur adexsistentiae. Cognoscere autem Deos ea quae sunt ancipitia melius quam fert eorum natura; quia haec quidem naturam habentia per se indefinitam possunt et evenire et non evenire, ipsi vero, ut qui naturae sint potioris horum cognitionem antecesserunt, ita ut etiam definito ista norint. Nam et res partibiles impartibiliter et indistanter eos nosse necesse est, et multiplicia uniformiter, et temporalia aeterne, et genita ingenite. Neque enim audebimus dicere cum fluxione rerum una cursitare Deorum cognitionem aut esse aliquid apud eos, aut praeteritum aut futurum, neque apud eos dici, quod nos Timaeus docet, hoc fuit, hoc erit, quae voces mutationis in se significationem habent, sed tantum est, et hoc ipsum non connumeratum cum illo fiat et erit, atque ab eis contra distinctum, sed cogitatum ante omnem temporis indicationem, ita ut Deorum immutabilitatem et invariabilitatem significet: quod etiam magnus Parmenides omni rei quae intellectu solo percipitur adesse affirmat, sic enim ait:

Non fuit, aut erit hoc, sed tantum dicimus: est hoc.

Neque existimandum est necessarium habitura eventum ea quae ancipitia dicimus, quia a Deis definito noscuntur. Non enim, quia id sciunt Dii, ideo necessario ista evenient, sed quia naturam habentia ambiguam et in utrumque proclivem, exitum habebunt talem aut talem, propterea Deos necesse est scire quomodo res exitura sit, estque idem natura quidem sua anceps,

θεῶν οὐκέτι ἀόριστον ἀλλ' ὡρισμένον. Δῆλον δὲ ὅτι καὶ τῇ ἡμετέρα γνώσει δυνατὸν ὡρισμένως ποτὲ γινώσκεσθαι τὸ ἐνδεχόμενον, ὅτε οὐδὲ κυρίως ἔτι ἔστιν ἐνδεχόμενον, ἀλλ' ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς προηγησαμένοις αἰτίοις τῆς ἑαυτοῦ γεννήσεως. Τὴν γοῦν σφαῖραν τὴν ἠρεμοῦσαν ἐν παραλλήλῳ τῷ ὁρίζοντι ἐπιπέδῳ, δυνατὸν μὲν τοῦ ἐπιπέδου τὴν αὐτὴν ἔχοντος θέσιν κινεῖσθαί τε ὑπό τινος καὶ μὴ, τοῦ μέντοι ἐπιπέδου κλιθέντος, μὴ κινεῖσθαι ἀδύνατον. Διὰ ταῦτα καὶ τοὺς ἰατροὺς ὁρῶμεν ὁτὲ μὲν οὐδὲν θαῤῥοῦντας ἀποφαίνεσθαι περὶ τῶν ἀῤῥώστων, εἴτε ὑγιανοῦσιν, εἴτε φθαρήσονται, ὡς ἂν ἐνδεχομένων ὄντων ἀμφοτέρων, ὁτὲ δὲ ἀνενδοιάστως περὶ τοῦ ἑτέρου τούτων ὡς τῷ ἀῤῥώστῳ πάντως τοι ὑπάρξαντος ἀποφαινομένους.

ζ.

Ἐπεὶ δέ τινες θρασύτερον ἀναστρεφόμενοι περὶ τὴν ζήτησιν τοῦ προκειμένου θεωρήματος οἴονται δεικνύναι μηδὲ τοῖς θεοῖς ὡρισμένην ὑπάρχουσαν γνῶσιν τῶν ἐνδεχομένων, χρησμοὺς παράγοντες ἡμῖν περὶ τῶν μελλόντων ἀμφιβόλως ἀποφηναμένους, ῥητέον πρὸς αὐτοὺς, ἅπερ ὁ μέγας φησὶ Συριανὸς, ὅτι πρῶτον μὲν ἐφιστάνειν ἐχρῆν, ὡς ἄλλη μὲν ἔστιν ἡ τῶν θεῶν γνῶσις καὶ νόησις, ἑτέρα δὲ ἡ τῆς προφήτιδος ἐνέργεια, κινηθείσης μὲν ἐκ θεοῦ, τεκούσης δὲ ἐν αὐτῇ καὶ λόγον μεριστὸν, καὶ μέτρα, καὶ γνῶσιν ἀμφίβολον. Οὐ γάρ τοι τὸ ἐλλαμπόμενον τοιοῦτόν ἐστιν, οἷον τὸ ἐλλάμπον, ἔπειτα δὲ ὅτι καὶ τοῦ συμφέροντος ἕνεκεν τῶν ἀκουόντων πολλάκις ἀμφίβολοι δίδονται χρησμοὶ, τὴν διάνοιαν αὐτῶν γυμνάζοντες [1]). Χρῶνται γὰρ ἡμῖν ὡς αὐτοκινήτοις οἱ θεοὶ, καὶ τοῦτον τὸν τρόπον τὰ περὶ ἡμᾶς κυβερνῶσι, καὶ πάντα ἡμῖν κατὰ τὴν ἡμῶν αὐτῶν ἀξίαν ἀπονέμουσιν. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τολμηρὰ, καὶ τῶν προκειμένων εἰς ἐξέτασιν μακρὰν ἀποπλανώμενα.

Deorum autem notitiae non indefinitum, sed definitum. Imo manifestum est etiam nostra cognitione posse interdum definito nosci id quod anceps est, cum scilicet non ultra proprie est anceps, sed necessario sequitur antegressas cur fiat causas. Nam ut globus iam quiescens in plano, quod circulo finitori sit aequidistans, aut moveatur mox ab aliquo, aut non moveatur, fieri utrumque potest manente plani natura; at si planum inclinetur, iam fieri nequit ut non moveatur. Ideo et medicos videmus, nunc quidem nihil audentes affirmare de aegrotantibus, sintne ad sanitatem redituri an interituri; quia utrumvis videatur fieri posse, alias vero sine haesitatione asserere horum alterum, tanquam quod omnino aegrotanti eventurum sit.

§. 7.

Quoniam vero nonnulli audacius se gerentes circa propositae iam quaestionis indaginem confidunt probare se posse ne Diis quidem adesse definitam rerum ancipitium cognitionem, adducentes oracula quaedam de futuris rebus, verbis loquentia dubiis, dicendum eis quod magnus Syrianus dicit, primum quidem considerandum, aliud esse Deorum cognitionem atque intellectionem, aliud vero operationem fatidicae motae quidem a Deo, sed in se pariente et rationem partibilem et carmina et notitiam dubiam. Non enim quod illustratur idem est cum eo quod illustrat, deinde etiam ob commodum audientium dari interdum dubia oracula, ut horum intelligentia exerceatur. Utuntur enim Dii nobis, ut qui a nobis ipsis moveamur et ad eum modum res nostras gubernant, omniaque nobis ita ut meremur distribuunt. Sed haec forte audacia et ab eo quod nunc examinamus procul recedentia.

η.

Ὅλως δὲ ὁ πάντα ἀναγκάζων λόγος πότερον καὶ αὐτὸ τοῦτο ἐξ ἀνάγκης συμβαίνειν τοῖς ἀνθρώποις φησὶ, τὸ λέγειν ὅτι πάντα ἠνάγκασται, ἢ ἐφ᾽ ἡμῖν κεῖσθαι τὰς περὶ τοῦ τρόπου τῆς γενέσεως τῶν πραγμάτων δόξας; Ἐι μὲν γὰρ τὸ δεύτερον ἀληθὲς, οὐκ ἄρα πάντα ἐξ ἀνάγκης, ἐι δὲ τὸ πρότερον, πῶς δοξάζουσί τινες τὸ ἀντικείμενον, ὅτι πολλά ἐστιν ἐφ᾽ ἡμῖν; τὸ γὰρ ὑπὸ τῆς φύσεως τῆς πάντα ἀναγκαζούσης (ὡς ὁ ἐκείνων λόγος) κινεῖσθαι παρὰ φύσιν ἡμᾶς ἐπὶ τὸ καταψηφίζεσθαι τῶν ἀπ᾽ αὐτῆς γιγνομένων, παντελῶς ἄλογον καὶ παραπλήσιον ὡς εἴ τις ἰατρικὴν τέχνην διδάσκων δἰ αὐτοῦ τούτου παρεσκεύαζε τοὺς διδασκομένους τὰς ἀρχὰς τῆς τέχνης, ἧς μετήενται [1]) ἀναιρεῖν. Καί τοι τὸν μὲν τεχνίτην εἰκὸς ποιῆσαί τι τῶν παρὰ τέχνην, οὐ καθ᾽ ὃ τοιοῦτος, οἷον τὸν ἰατρὸν δοῦναι φθορὸν ἢ δηλητήριον [2]), ἅτε ψυχὴν αὐτοκίνητον ἔχοντα, καὶ τῆς τέχνης μηδὲν συντελούσης πρὸς αὐτὴν τῆς ψυχῆς τὴν τελειότητα, τοῦ δὲ σώματος ἢ τῶν ἐκτὸς ἐπιμελουμένης. Τὴν μέντοι φύσιν ὑπεναντίον τι τῷ οἰκείῳ τέλει ποιεῖν ἀμήχανον. Οὐ μὴν οὐδ᾽ ὡς περὶ τῶν τεράτων, οὕτω καὶ τῶν δοξῶν πλεονεξίαν τῆς ὕλης ἢ ἔνδειαν αἰτιασόμεθα. Οὔτε γὰρ πλάττειν αὐτοῖς βουλομένοις ῥάδιον ἀποδοῦναι τῶν διαφόρων δοξῶν ἐκ τῆς κατὰ τὴν ὕλην διαφορᾶς τὰς αἰτίας, οὔτε πάντων ἔτι τὴν εἱμαρμένην αἰτίαν εἶναι ὁμολογήσουσιν. Ἀλλὰ τούτων μὲν ἅλις.

---

§. 8.

At vero dissertationes quae eo tendunt, ut cuncta probentur necessario fieri an hoc etiam volunt, hoc quoque hominibus necessario accidere, ut dicant omnia necessario fieri, an vero in nostra esse potestate positas opiniones de modo quo res fiunt? Nam si posterius verum est, non iam omnia erunt ex necessitate; sin prius est verum, quomodo sunt qui docent contrarium, multa scilicet esse in nostra potestate? Nam ut a natura cuncta necessario efficiente, sicut illorum fert sententia, nos moveamur praeter naturam ad condemnanda ea quae a natura fiunt, plane a ratione alienum est, et tale ac si quis medicam artem docens hoc ipso discipulos suos in id instruat, ut principia tollant eius artis quam discere cupiunt. Et tamen fieri potest artificem quaedam facere contra artem, non qua talis est, puta medicum dare abortivum aut venenum, quia scilicet animum habeat qui a sese moveatur, et ars nihil saepe confert ad perfectum animi statum, quod is maiorem habeat curam corporis aut rerum externarum. At ut natura suo proposito contrarium aliquid faciat, fieri plane non potest. Non enim sicut in eventibus, ita in opinionibus ad materiae abundantiam aut penuriam causa referri potest. Neque enim etiamsi fingendi sibi sumant licentiam facile ipsis erit dissidentium opinionum causas ex materiae diversitate accersere, ac proinde adstruere non poterunt Fatum causam esse rerum omnium. Sed de his satis.

ΠΛΟΤΙΝΟΥ

ΕΝΝΕΑΔΟΣ Γ. ΛΟΓΟΣ Α.

Περὶ εἱμαρμένης.

Α.

Πάντα τὰ γινόμενα καὶ τὰ ὄντα ἤτοι κατ' αἰτίας γίνεται τὰ γινόμενα καὶ τὰ ὄντα, ἢ ἄνευ αἰτίας ἄμφω, ἢ τὰ μὲν ἄνευ αἰτίας, τὰ δὲ μετ' αἰτίας ἐν ἀμφοτέροις, ἢ τὰ μὲν γινόμενα μετ' αἰτίας πάντα, τὰ δὲ ὄντα τὰ μέν ἐστιν αὐτῶν μετ' αἰτίας, τὰ δὲ ἄνευ αἰτίας, ἢδὲ μετ' αἰτίας ἢ ἀνάπαλιν, τὰ μὲν ὄντα, μετ' αἰτίας πάντα, τὰ δὲ γιγνόμενα τὰ μὲν οὕτως, τὰ δὲ ἐκείνως, ἢ οὐδὲν αὐτῶν μετ' αἰτίας. Ἐπὶ μὲν οὖν τῶν ἀϊδίων, τὰ μὲν πρῶτα εἰς ἄλλα αἴτια ἀνάγειν οὐχ οἷόν τε πρῶτα ὄντα· ὅσα δὲ ἐκ τῶν πρώτων ἤρτηται, ἐξ ἐκείνων τὸ εἶναι ἐχέτω, τάς τε αὖ ἐνεργείας ἑκάστων ἀποδιδούς τις ἐπὶ τὰς [1]) ἀναγέτω, τοῦτο γάρ ἐστι τὸ εἶναι αὐτῶν, τὸ τοιάνδε ἐνέργειαν ἀποδιδόναι. Περὶ δὲ τῶν γιγνομένων ἢ ὄντων μὲν ἀεὶ. οὐ τὴν αὐτὴν δὲ ἐνέργειαν ποιουμένων ἀεὶ, κατ' αἰτίας ἅπαντα λεκτέον γίνεσθαι· τὸ δὲ ἀναίτιον οὐ παραδεκτέον, οὔτε ἐν παρεγκλίσεσι κεναῖς χώραν διδόντων [2]), οὔτε κινήσει σωμάτων τῇ ἐξαίφνης, ἣ οὐδενὸς προηγησαμένου ὑπέστη, οὔτε ψυχῆς ὁρμῇ ἐμπλήκτῳ, μηδενὸς κινήσαντος αὐτὴν εἰς τό τι πρᾶξαι, ὧν πρότερον οὐκ ἐποίει. Ἢ

PLOTINI

ENNEADIS III. LIBRI I.

De Fato.

(Eodem Hugone Grotio interprete.)

Cap. I.

Ea quae sunt quaeque fiunt necesse est per causas fieri quae fiunt et esse quae sunt, aut sine causa utraque, aut in utrisque alia per causas alia sine causis, vel omnia quae fiunt causas habere: eorum vero quae sunt alia habere causas, alia esse sine causis, aut contra quae sunt habere causas, quae vero fiunt partim habere, partim non habere, aut plane nihil esse per causam. In aeternis ergo quae sunt prima, ad alias causas referri nequeunt, cum sint prima. Quae vero ex illis pendent, inde etiam habento quod sunt: operationes vero cuiusque ad ipsas naturas referuntor. Id enim est ipsorum esse talem de se operationem promere. De iis vero quae fiunt, aut sunt quidem semper, sed non eandem semper de se edunt operationem, dicendum omnia ex causis fieri; sine causa vero perfici aliquid non est recipiendum: neque locum danto declinationibus in inani, neque motioni subitae corporum, quae ex nulla re antecedente exstiterit, neque animae appetitui temere exorto, cum nihil sit quod eam moveat ut agat aliter quam fecit antea,

αὐτῷ γε τούτῳ μείζων ἂν τις ἔχοι αὐτὴν ἀνάγκη, τὸ μὴ αὐτῆς εἶναι, φέρεσθαι δὲ τὰς τοιαύτας φορὰς, ἀβουλήτους τε καὶ ἀναιτίους οὔσας. Ἢ γὰρ τὸ βουλητὸν, τοῦτο δὲ ἢ ἔξω ἢ εἴσω, ἢ τὸ ἐπιθυμητικὸν [3]) ἐκίνησεν, ἢ ἐι μηδὲν ὀρεκτὸν ἐκίνησεν, οὐδ' ἂν ὅλως ἐκινήθη. Γιγνομένων δὲ πάντων κατ' αἰτίας, τὰς μὲν προσεχεῖς ἑκάστῳ ῥᾴδιον λαβεῖν καὶ ἐις ταύτας ἀνάγειν· οἷον τοῦ βαδίσαι ἐις ἀγορὰν, τὸ οἰηθῆναι δεῖν τινα ἰδεῖν ἢ χρέος ἀπολαβεῖν, καὶ ὅλως τοῦ τάδε ἢ τάδε ἑλέσθαι καὶ ὁρμῆσαι· ἔπειτα δὲ τὸ φανῆναι ἑκάστῳ τάδε ποιεῖν. Καὶ τὰ μὲν ἐπὶ τὰς τέχνας ἀνάγειν, τοῦ ὑγιάσαι ἡ ἰατρικὴ καὶ ὁ ἰατρὸς, καὶ τοῦ πλουτῆσαι θησαυρὸς ἑυρεθεὶς, ἢ δόσις παρά του, ἢ ἐκ πόνων ἢ τέχνης χρηματίσασθαι, καὶ τοῦ τέκνου ὁ πατὴρ, καὶ ἐίτι σύνεργον ἐις παιδοποιΐαν ἄλλο πρὸς ἄλλου [4]) ἧκον, οἷον σιτία τοιάδε, ἢ καὶ ὀλίγῳ προσωτέρα ἑυροῦσα [5]) ἐις παιδοποιΐας ἡ γυνὴ, ἐπιτήδειος ἐις τόκους καὶ ὅλως ἐις φύσιν.

B.

Μέχρι μὲν οὖν τούτων ἐλθόντα ἀναπαύσασθαι, καὶ πρὸς τὸ ἄνω μὴ ἐθελῆσαι χωρεῖν, ῥαθύμου ἴσως καὶ οὐ κατακούοντος τῶν ἐπὶ τὰ πρῶτα, καὶ ἐπὶ τὰ ἐπέκεινα αἴτια ἀνιόντων. Διὰ τί γὰρ τῶν αὐτῶν γενομένων, οἷον τῆς σελήνης φανεισάσης ὁ μὲν ἥρπασεν ὁ δὲ οὔ, καὶ τῶν ὁμοίων ἐκ τοῦ περιέχοντος ἡκόντων ὁ μὲν ἐνόσησεν, ὁ δὲ οὔ, καὶ πλούσιος ὁ δὲ πένης ἐκ τῶν ἐργῶν; Καὶ τρόποι δὴ καὶ ἤθη διάφορα καὶ τύχαι ἐπὶ τὰ πόῤῥω ἀξιοῦσιν ἰέναι [1]). Καὶ οὕτω δὴ ἀεὶ οὐχ ἱστάμενοι, οἱ μὲν ἀρχὰς σωματικὰς θέμενοι, οἷον ἀτόμους, τῇ τούτων φορᾷ καὶ πληγαῖς καὶ συμπλοκαῖς πρὸς ἄλληλα ἕκαστα ποιοῦντες, καὶ οὕτως

Nam hoc ipso maior eum premeret necessitas, quod non esset sui iuris, sed tali ferretur incitu qui nec voluntarius esset, nec ex causa aliqua procederet. Nam id quod volumus animum commovit sive intus sive extra, aut id quod cupimus, aut si nihil eorum quae expetimus fuit quod commoveret animum, certe commoveri non potuit. Quod si fiunt omnia ex causis, proximas effectis rebus facile est invenire, et ad eas effectus ipsos redigere: puta eundo in forum, quod opus fuit videre aliquem, aut debitum recipere, et generatim cur quis haec eligat, et deinde appetitu ad ea concitetur, quod ita faciendum visum est ipsi. Et nonnulla quidem horum, artibus accepta feruntur ut recuperatio sanitatis medicinae et medico; divitiae thesauro invento aut liberalitati alterius, aut labori aut artificio quaestuoso; filius patri, et si quid aliud opitulatum est ad generationem, alterum alteri superveniens, ut cibi quidam aut etiam inter ea quae propiora sunt, reperta foemina apta ad pariendum: generatim vero natura ipsa.

II.

Ad haec ubi ventum sit, ibi conquiescere nec ad superiora ascendere videri potest esse hominis degeneris, neque eis auscultantis, qui ad primas et trans omnia causas ascendunt. Cur enim cum eadem exsistant, puta cum luna appareat, alius furatur alius non furatur, et cum ab iis rebus quae nos circumplectuntur eadem ad nos fluant, alius aegrotavit, alius bene valuit, ex iisdem operibus hic dives fit, pauper alius? Tum vero vivendi rationes moresque diversi nec minus fortunae volunt nos ire longius: et sic nusquam reperientes ubi stare possint, alii principia statuentes corporea, puta ea quae dicunt insecabilia, horum in-

ἔχειν καὶ γίνεσθαι, ᾗ ἐκεῖνα συνέστη, ποιεῖ τε καὶ πάσχει, καὶ τὰς ἡμετέρας ὁρμὰς καὶ διαθέσεις ταύτῃ ἔχειν ὡς ἂν ἐκεῖναι ποιῶσιν, ἀνάγκην ταύτην καὶ τὴν παρὰ τούτων ἐις τὰ ὄντα ἐιςάγουσι. Κἂν ἄλλα δέ τις σώματα ἀρχὰς διδῷ, καὶ ἐκ τούτων τὰ πάντα γίγνεσθαι, τῇ [2]) παρὰ τούτων ἀνάγκῃ δουλεύειν ποιεῖ τὰ ὄντα. Οἱ δὲ ἐπὶ τὴν τοῦ παντὸς ἀρχὴν ἐλθόντες ἀπ᾽ ἀυτῆς κατάγουσι πάντα, διὰ πάντων φοιτήσασαν ἀιτίαν, καὶ ταύτην οὐ μόνον κινοῦσαν [3]), ἀλλὰ καὶ ποιοῦσαν ἕκαστα λέγοντες, ἑιμαρμένην ταύτην καὶ κυριοτάτην ἀιτίαν θέμενοι, ἀυτὴν οὖσαν τὰ πάντα· οὐ μόνον τὰ ἄλλα ὅσα γίνεται, ἀλλὰ καὶ τὰς ἡμετέρας διανοήσεις ἐκ τῆς ἐκείνης ἰέναι κινημάτων· οἷον ζώου μορίων μὴ κινουμένων ἑκάστων ἐξ ἀυτῶν, ἐκ δὲ τοῦ ἡγεμονοῦντος ἐν ἑκάστῳ τῶν ζώων. Ἄλλοι δὲ τὴν τοῦ παντὸς φορὰν περιέχουσαν καὶ πάντα ποιοῦσαν τῇ κινήσει, καὶ τοῖς τῶν ἄστρων πλανωμένων τε καὶ ἀπλανῶν σχέσεσι καὶ σχηματισμοῖς πρὸς ἄλληλα, διὰ τὴν ἐκ τούτων πρόῤῥησιν [4]) πιστούμενοι ἕκαστα ἐντεῦθεν γίνεσθαι ἀξιοῦσι. Καὶ μὴν καὶ τῶν ἀιτίων ἐπιπλοκὴν πρὸς ἄλληλα, καὶ τὸν ἄνωθεν ἑιρμὸν, καὶ τὸ ἕπεσθαι τοῖς προτέροις ἀεὶ τὰ ὕστερα, καὶ ταῦτα ἐπ᾽ ἐκεῖνα ἀνιέναι δι᾽ ἀυτῶν· γενόμενα καὶ ἄνευ ἐκείνων ὀυκ ἂν γενόμενα δουλεύειν τε τοῖς πρὸ ἀυτῶν τὰ ὕστερα. Ταῦτα ἐί τις λέγει, ἑιμαρμένην ἕτερον τρόπον ἐιςάγων φαίνεται. Διττοὺς δὲ ἄν τις θέμενος καὶ τούτους [5]), οὐκ ἂν τοῦ ἀληθοῦς ἀποτυγχάνοι. Οἱ μὲν γὰρ ἀφ᾽ ἑνός τινος τὰ πάντα ἀναρτῶσιν· οἱ δὲ οὐχ ὅυτω. Λεχθήσεται δὲ περὶ τούτων. Νῦν δὲ ἐπὶ τοὺς πρώτους ἰτέον τῷ λόγῳ· ἐιτ᾽ ἐφεξῆς τὰ τῶν ἄλλων ἐπισκεπτέον.

citu et percussu atque inter se cohaesione omnia aiunt sic se habere, et fieri, prout illa coaluerint, ex eo et agere et pati, quin et nostras ex appetitu motiones et constitutiones animi perinde se habere ut illa affecerint, necessitatem hanc et quae inde consequitur ad res omnes protendunt. Quod si quis alia corpora statuat esse principia, unde fiant omnia, idem omnia statuit subiecta fluenti inde necessitati. Qui vero ad principium veniunt universi, etiam hi ab eo deducunt omnia, dicentes eam esse causam quae per omnia penetrat, hanc esse unicam quae cuncta non moveat tantum, sed et efficiat, hanc esse dicentes Fatum et causam proprie dictam, quae omnia efficiat ut omnia non modo caetera quae fiunt, sed et cogitationes nostrae ex ipsius motionibus procedant, plane quasi membra animantis, quorum singula non moventur ex se, sed ex eo quod in quoque animante principale est. Alii vero circumactionem universi quae nos complectitur dicunt sua motione causam esse cur fiant singula, fidemque habentes stellarum tum vagantium, tum stabilium mutuis inter se habitibus et figurationibus, ob ea quae inde praedici solent inferunt singula fieri. Inde esse quod causae inter se complicentur, inde nexum a summis, et quod ex prioribus posteriora sequantur, et ad ea redeant, unde facta sint et sine quibus non extitissent, et ita subiecta sint antecedentibus consequentia. Haec qui dicat, eum apparet alio modo Fatum inducere. Sed et hos qui in duas classes partietur a vero non aberrabit. Nam alii ab uno omnia suspendunt, alii non item. De his dicetur suo loco. Nunc vero sermo ad primos illos redire debet, ut de caeteris suo ordine videamus.

Γ.

Σώμασι μὲν οὖν ἐπιτρέψαι τὰ πάντα εἴτε ἀτόμοις, εἴτε τοῖς στοιχείοις καλουμένοις, καὶ τῇ ἐκ τούτων ἀτάκτῳ φορᾷ τάξιν καὶ λόγον καὶ ψυχὴν τὴν ἡγουμένην γεννᾷν, ἀμφοτέρως μὲν ἄτοπον καὶ ἀδύνατον· ἀδυνατώτερον δὲ, ει οἷόν τε λέγειν, τὸ ἐξ ἀτόμων. Καὶ περὶ τούτων πολλοὶ εἴρηνται λόγοι ἀληθεῖς. Ἐι δὲ δὴ θεῖτό τις τοιαύτας ἀρχὰς, οὐδ' ούτως ἀναγκαῖον οὔτε τὴν κατὰ πάντων ἀνάγκην, οὔτε τὴν ἄλλως ἑιμαρμένην ἕπεσθαι. Φέρε γὰρ πρῶτον ἀτόμους εἶναι· αὗται τοίνυν κινήσονται, τὴν μὲν εις τὸ κάτω (ἔστω γάρ τι κάτω) τὴν δὲ ἐκ πλαγίων ὅπη ἔτυχεν, ἄλλαι κατὰ ἄλλα, οὐδὲν δὴ πάντως [1]), τάξεώς τε οὐκ οὔσης. Τὸ δὲ γενόμενον τοῦτο ὅτε γέγονε πάντως, ὥς τε οὔτε πρόῤῥησις [2]) οὔτε μαντικὴ τὸ παράπαν ἂν εἴη, οὔτε ἥτις [3]) ἐκ τέχνης (πῶς γὰρ ἐπι τοῖς ἀτάκτοις τέχνη;) οὔτε ἥτε ἐξ ἐνθουσιασμοῦ καὶ ἐπινοίας· δεῖ γὰρ καὶ ἐνταῦθα ὡρισμένον τὸ μέλλον εἶναι. Καὶ σώμασι μὲν ἔσται [4]) παρὰ τῶν ἀτόμων πάσχειν πληττομένοις, ἅπερ ἂν ἐκεῖναι φέρωσιν ἐξ ἀνάγκης, τὰ δὲ ψυχῆς ἔργα καὶ πάθη τίσι κινήσεσι τῶν ἀτόμων ἀναθήσει τις; ποία γὰρ πληγὴ ἢ κάτω φερομένης, ἢ ὁπουοῦν προςκρουούσης, ἐν λογισμοῖς τοιοῖςδε ἢ ὁρμαῖς τοιαῖςδε ἢ νοήσεσιν [5]) ἢ ποιήσεσιν ἀναγκαίαις εἶναι ἢ ὅλως εἶναι [6]); Ὅταν δὲ δὴ ἐναντιῶται ψυχὴ τοῖς τοῦ σώματος παθήμασι, κατὰ ποίας δὲ φορὰς ἀτόμων ὁ μὲν γεωμετρικὸς ἀναγκασθήσεται εἶναι, ὁ δὲ ἀριθμητικὴν καὶ ἀστρονομίαν ἐπισκέπτεται, ὁ δὲ σοφὸς ἔσται [7]); Ὅλως γὰρ τὸ ἡμέτερον ἔργον καὶ τὸ ζώοις εἶναι ἀπολεῖται, φερομένων ᾗ τὰ σώματα ἄγει, ὠθοῦντα ἡμᾶς, ὥςπερ ἄψυχα σώματα. Τὰ αὐτὰ δὲ ταῦτα καὶ πρὸς τοὺς ἕτερα σώματα αἴτια τῶν πάντων τιθεμένους, καὶ ὅτι θερμαίνειν μὲν καὶ ψύχειν ἡμᾶς, καὶ φθείρειν δὲ τὰ ἀσθενέστερα δύναται ταῦτα.

III.

Corporibus itaque omnia tribuere sive insecabilibus, sive illis quae elementa dicuntur, et ex eorum inordinato incitu ordinem et rationem et animam praesidentem deducere, utrumque sane et absurdum est et fieri nequit. Quod si ita licet loqui, minus potest esse ut ex insecabilibus corpusculis cuncta exsistant: qua de re verissima dicta sunt alibi. Quod si quis tales statuat causas, ne sic quidem necesse erit statuere aut rerum omnium necessitatem, aut cuiusque generis fatum. Demus enim esse corpuscula insecabilia, illa igitur ferentur alia deorsum; (ponamus enim esse aliquid alio inferius) alia ex transverso, prout casus tulerit, alia aliorsum: non autem certa motione quia nullus adhuc erit ordo. At quod sic ortum est, quando ortum est, feretur motione certa. Nulla igitur erit praedictio, nulla vaticinatio, non illa ex arte. (Quomodo enim ars circa ordinis expertia) non altera ex instinctu divino afflatuque. Nam et in his oportet id quod futurum est, esse definitum. Et corpora quidem necessario patientur eos ictus quos eis inferent minuta ista corpuscula. At animi opera ac effectus quibus tandem corpusculorum istorum motionibus attribuere quis poterit? Quis enim ictus corpusculi insecabilis deorsum perlati aut aliquo modo offensi efficiet ut tales, et tales sint rationis disceptationes aut motiones appetitus, aut intellectiones aut effectiones, ut sint necessario aut ullo modo, praesertim ubi anima se opponit corporis perturbationibus? quibus denique illorum corpusculorum cursitationibus fiet ut hic sit geometra, alius artem sideralem vel numerariam tractet, sapiens sit alius. Omnino enim nostrum hoc est opus: ac ne animantia quidem erimus, si ferimur, quo nos trudunt corporalia, sicut trudi solent

Ἔργον δὲ οὐδὲν τῶν, ὅσα ψυχὴ ἐργάζεται, παρὰ τούτων ἂν γίνοιτο· ἀλλ' ἀφ' ἑτέρας δεῖ ταῦτα ἀρχῆς ἰέναι.

Δ.

Ἀλλ' ἄρα μία τις ψυχὴ διὰ παντὸς διήκουσα περαίνει τὰ πάντα, ἑκάστου ταύτῃ κινουμένου μέρους ᾗ τὸ ὅλον ἄγει [1]; Φερομένων δὲ ἐκεῖθεν τῶν αἰτίων ἀκολούθων ἀνάγκη τὴν τούτων ἐφεξῆς συνέχειαν καὶ συμπλοκὴν εἱμαρμένην [2]) οἷον ἐι φυτοῦ ἐκ ῥίζης τὴν ἀρχὴν ἔχοντος, τὴν ἐντεῦθεν ἐπὶ πάντα διοίκησιν αὐτοῦ τὰ μέρη, καὶ πρὸς ἄλληλα συμπλοκὴν, ποίησίν τε καὶ πεῖσιν διοίκησιν μίαν καὶ οἷον εἱμαρμένην τοῦ φυτοῦ τὶς ἐῖναι λέγοι. Ἀλλὰ πρῶτον μὲν τοῦτο τὸ σφοδρὸν τῆς ἀνάγκης καὶ τῆς τοιαύτης εἱμαρμένης, αὐτὸ τοῦτο τὴν εἱμαρμένην καὶ τῶν αἰτίων τὸν εἱρμὸν καὶ τὴν συμπλοκὴν ἀναιρεῖ. Ὡς γὰρ ἐν τοῖς ἡμετέροις μέρεσι κατὰ τὸ ἡγεμονοῦν κινουμένοις, ἄλογον τὸ καθ' εἱμαρμένην λέγειν κινεῖσθαι, (οὐ γὰρ ἄλλο μὲν τὸ ἐνδεδωκὸς τὴν κίνησιν, ἄλλο δὲ τὸ παραδεξάμενον καὶ παρ' αὐτοῦ τῇ ὁρμῇ κεχρημένον, ἀλλ' ἐκεῖνο ἐστὶ πρῶτον τὸ κινῆσαν τὸ σκέλος) τὸν αὐτὸν τρόπον ἐι καὶ ἐπὶ τοῦ παντὸς ἓν ἔσται τὸ πᾶν ποιοῦν καὶ πάσχον, καὶ οὐκ ἄλλο παρ' ἄλλου, κατ' αἰτίας τὴν ἀναγωγὴν ἀεὶ ἐφ' ἕτερον ἐχούσας. Οὐ δὴ ἀληθὲς κατ' αἰτίας τὰ πάντα γίγνεσθαι, ἀλλ' ἓν ἔσται τὰ πάντα, ὥςτε οὔτε ἡμεῖς, οὔτε τι ἡμέτερον ἔργον, οὐδὲ λογιζόμεθα αὐτοὶ, ἀλλ' ἑτέρου λογισμὸς τὰ ἡμέτερα βουλεύματα, οὐδὲ πράττομεν ἡμεῖς, ὥςπερ οὐδὲ οἱ πόδες λακτίζουσιν, ἀλλ' ἡμεῖς διὰ μερῶν τῶν ἑαυτῶν. Ἀλλὰ γὰρ δεῖ καὶ ἕκαστον ἕκαστον εἶναι, καὶ πράξεις ἡμετέρας καὶ διανοίας ὑπάρχειν, καὶ τὰς ἑκάστου καλάς τε καὶ αἰσχρὰς πράξεις παρ' ἑαυτοῦ ἑκάστου, ἀλλὰ μὴ τῷ παντὶ τὴν γοῦν τῶν αἰσχρῶν ποίησιν ἀνατιθέναι.

res inanimes. Haec ipsa etiam cum illis pugnant qui alia corpora rerum omnium causas statuunt. Possunt ea nos calefacere et refrigerare, perdere etiam ea quae ipsis minus valent, at nullum eorum operum, quae anima operatur, ab illis fiet, sed ab alia necesse est ista causa progredi.

IV:

An ergo una anima universum permeans haec efficit, re scilicet quaque eum recipiente motum tanquam parte quo ducit ipsum totum, a quo scilicet raptentur causae subsequentes necessitate quadam, secundum causarum fatalem continentiam atque connexum: perinde ac si quis dicat, cum stirps a radice ortum habeat, eam quae inde in omnes partes diffunditur dispensationem et mutuam connexionem et actionem et passionem esse gubernationem unam ac velut Fatum stirpis. At primum nimia illa vis necessitatis ac Fati talis, hoc ipsum est quo tollitur Fatum et causarum series atque nexus. Sicut enim ubi partes moventur secundum id quod in nobis principale est, absonum sit dicere Fato eas moveri (Non enim aliud est quod motionem imprimit, aliud quod eam suscipit, et inde impetum mutuatur, sed est illud primum unde movetur crus) pari modo in universo, si unum erit universum, et agens et patiens et non tale, ut aliud ab alio sit per causas quae aliae ab aliis reducantur. Iam verum non erit per causas omnia fieri: neque nos erimus nos, neque aliquod opus nostrum, neque nos raticionamur, sed nostra consulta alterius sunt ratiocinatio, neque nos agimus, non magis quam pedes calcitrant, cum nos id facimus per partes nostri. Atqui oportet unumquodque esse unumquodque et actiones esse nostras, cogitationes esse nostras, et cuiusque actiones bonas ac foedas esse ipsius, et non universo tribui rerum turpium effectionem.

E.

Ἀλλ' ἴσως μὲν οὐχ οὕτως ἕκαστα περαίνεται· ἡ δὲ φορὰ διοικοῦσα [1]) πάντα καὶ ἡ τῶν ἄστρων κίνησις οὕτως ἕκαστα τίθησι, ὡς ἂν πρὸς ἄλληλα στάσεως ἔχοι μεσουρανήσεσι [1 a]) καὶ ἀνατολαῖς, δύσεσι τε καὶ παραβολαῖς. Ἀπὸ τούτων γοῦν μαντευόμενοι προλέγουσι περί τε τῶν ἐν τῷ παντὶ ἐσομένων περί τε ἑκάστου ὅπως τε τύχης καὶ διανοίας οὐχ ἥκιστα ἕξει· ὁρᾷν δὲ [2]) καὶ τὰ ἄλλα ζῶά τε καὶ φυτὰ ἀπὸ τῆς τούτων συμπαθείας αὐξόμενά τε καὶ μειούμενα, καὶ τὰ ἄλλα παρ' αὐτῶν πάσχοντα τούς τε τόπους τοὺς ἐπὶ γῆς διαφέροντας ἀλλήλων εἶναι, κατά τε τὴν πρὸς τὸ πᾶν σχέσιν καὶ πρὸς ἥλιον μάλιστα, ἀκολουθεῖν δὲ τοῖς τόποις οὐ μόνον τὰ ἄλλα φυτά τε καὶ ζῶα, ἀλλὰ καὶ ἀνθρώπων εἴδη τε καὶ μεγέθη, καὶ χρόας, καὶ θυμοὺς καὶ ἐπιθυμίας, ἐπιτηδεύματά τε καὶ ἤθη· κυρία ἄρα ἡ τοῦ παντὸς πάντων φορά. Πρὸς δὴ ταῦτα πρῶτον μὲν ἐκεῖνο ῥητέον, ὅτι καὶ οὗτος ἕτερον τρόπον ἐκείνοις ἀνατίθησι τὰ ἡμέτερα, βουλάς τε καὶ πάθη, κακίας τε καὶ ὁρμάς, ἡμῖν δὲ οὐδὲν διδοὺς λίθοις φερομένοις καταλείπει εἶναι, ἀλλ' οὐκ ἀνθρώποις ἔχουσι παρ' αὐτῶν καὶ ἐκ τῆς αὐτῶν φύσεως ἔργον. Ἀλλὰ χρὴ διδόναι μὲν τὸ ἡμέτερον ἡμῖν, ἥκειν δὲ εἰς τὰ ἡμέτερα ἤδη τινὰ ὄντα καὶ οἰκεῖα ἡμῖν ἀπὸ τοῦ παντὸς· ἅττα καὶ διαῤῥούμενον [3]), τίνα μὲν ἡμεῖς ἐργαζόμεθα, τίνα δὲ πάσχομεν ἐξ ἀνάγκης, μὴ πάντα ἐκείνοις ἀνατιθέναι. Καὶ ἰέναι μὲν παρὰ τῶν τόπων καὶ τῆς διαφορᾶς τοῦ περιέχοντος εἰς ἡμᾶς οἷον θερμότητας καὶ ψύξεις ἐν τῇ κράσει, ἰέναι δὲ ἐπὶ τῶν γιγνομένων [4]) τοῖς γοῦν γονεῦσιν ὅμοιοι καὶ τὰ εἴδη, ὡς τὰ πολλὰ [5]), καί τινα τῶν ἀλόγων τῆς ψυχῆς παθῶν; Οὐ μὴν ἀλλὰ καὶ ὁμοίων ὄντων τοῖς εἴδεσιν παρὰ τοὺς τρόπους, ἔν γε [6]) τοῖς ἤθεσι πλείστη παραλλαγὴ καὶ ἐν ταῖς διανοίαις ἐνορᾶται, ὡς ἂν ἀπ' ἄλλης ἀρχῆς τῶν τοιούτων

V.

At forte non eo quo diximus modo cuncta diriguntur, sed circumactio cuncta dispensans, siderumque cursus ita quaeque afficit, prout habet suos positus in meridie, ortu, occasu vel concursu. Unde divinatores praedicunt de futuris in universa, et in singulis nec solum qualis fortuna sed etiam qualis ferme cogitatio sit futura. Quippe conspici et alia animantia et stirpes pro convenientia quam cum sideribus habent crescere et decrescere, res etiam alias ab iis affici, regiones enim inter se differre pro respectu quem habent ad universum, maxime solem. Pro illis autem regionibus conformari non stirpes tantum et animantia alia, sed et hominum formas et magnitudines et colores, et animi affectus et cupidines et studia et mores: dominam itaque rerum omnium esse universi circumactionem. Ad haec primo loco dicendum est, etiam eum qui sic sentit, nostra omnia supernis rebus adscribere etiam voluntates et perturbationes et vitia et motiones appetituum: nobis vero nihil dare, nisi quod feramur lapidum instar, non autem ut homines simus habeamusque a nobis et ex nobis opus aliquod humanae naturae. At vero danda sunt nobis quae nostra sunt, sed ita ut ad ea quae iam nostra sunt, et propria nobis ab universo aliqua deveniant, et distinguenda quaedam quae nos facimus ab aliis, quae sunt ex necessitate, non omnia attribuere astris. Agnoscendum enim manare ad nos quaedam ex locorum et eius quod loca ambit diversitate, calorem puta aut frigus in temperamento, sed et multa fluere ad nos a parentibus. Nam parentibus similes ad plurimum habemus formas et quasdam animi perturbationes a ratione absonas. Verum tamen quanquam in iisdem locis multum simile habeant formae, in moribus et cogitationibus ingens

ἰόντων, αἴτε πρὸς τὰς κράσεις τῶν σωμάτων καὶ πρὸς τὰς ἐπιθυμίας ἐναντιώσεις καὶ ἐνταῦθα πρεπόντως λέγοιντο ἄν. Ἐι δ᾽ ὅτι ἐις τὴν τῶν ἄστρων σχέσιν ὁρῶντες περὶ ἑκάστων λέγουσι τὰ γιγνόμενα παρ᾽ ἐκείνων ποιεῖσθαι τεκμαίρονται, ὁμοίως ἂν καὶ οἱ ὄρνεις ποιητικοὶ ὧν σημαίνουσιν ἐῖεν, καὶ πάντα ἐις ἃ βλέπουσιν οἱ μάντεις προλέγουσιν. Ἔτι δὲ καὶ ἐκ τῶνδε ἀκριβέστερον ἄν τις ἐπισκέψαιτο περὶ τούτων. Ἅ τις ἂν ἰδὼν ἐις τὴν τῶν ἄστρων σχέσιν ἣν ἐῖχον ὅτε ἕκαστος ἐγίνετο, προείποι, ταῦτα φασὶ καὶ γίνεσθαι παρ᾽ αὐτῶν, οὐ σημαινόντων μόνον, ἀλλὰ καὶ ποιούντων. Ὅταν τοίνυν περὶ ἐυγενείας λέγωσιν, ὡς ἐξ ἐνδόξων τῶν πατέρων καὶ μητέρων πῶς ἔνι ποιεῖσθαι [7]) λέγειν ταῦτα, ἃ προϋπάρχει περὶ τοὺς γονεῖς, περὶ τὴν σχέσιν γενέσθαι ταύτην τῶν ἄστρων, ἀφ᾽ ἧς προλέγουσι; Καὶ μὴν καὶ γονέων τύχας ἀπὸ τῶν παίδων τῆς γενέσεως καὶ παίδων διαθέσεις, ὁῖαι ἔσονται καὶ ὁποίαις συνέσονται τύχαις, ἀπὸ τῶν πατέρων περὶ τῶν ὄυπω γεγονότων λέγουσι, καὶ ἐξ ἀδελφῶν, ἀδελφῶν θανάτους· καὶ ἐκ γυναικῶν τὰ περὶ τοὺς ἄνδρας καὶ ἀνάπαλίν τε ἐκ τούτων ἐκεῖνα. Πῶς ἂν ὄυν ἡ ἑκάστου σχέσις ἐπὶ τῶν ἄστρων ποιεῖ, ἃ ἤδη ἐκ πατέρων ὁύτως ἕξειν λέγεται; Ἢ γὰρ ἐκεῖνα τὰ πρότερα ἔσται τὰ ποιοῦντα, ἢ ἐι μὴ ἐκεῖνα ποιεῖ, οὐδὲ ταῦτα. Καὶ μὴν καὶ ἡ ὁμοιότης ἐν τοῖς ἐίδεσι πρὸς τοὺς γονέας ὀίκοθεν φησὶ, καὶ κάλλος καὶ αἶσχος ἰέναι, ἀλλ᾽ οὐ παρὰ φορᾶς ἄστρων. Ἐύλογον δὲ κατὰ τοὺς αὐτοὺς χρόνους καὶ ἄλλα ζῶά τε παντοδαπὰ, καὶ ἀνθρώπους ἅμα γίνεσθαι, ὁῖς ἅπασιν ἐχρῆν τὰ αὐτὰ ἐῖναι, ὁῖς ἡ αὐτὴ σχέσις, πῶς ὄυν ἅμα μὲν ἀνθρώπους, ἅμα δὲ τὰ ἄλλα διὰ τῶν σχημάτων.

ΣΤ.

Ἀλλὰ γὰρ γίγνεται μὲν ἕκαστα κατὰ τὰς αὐτῶν

apparet differentia, quasi ortis illis ex principio alio. Deinde ne hic quidem omitti debent animi repugnantiae contra corporis temperamentum et cupiditates. Quodsi, quia sunt qui spectato astrorum positu de rebus singulis futura praedicunt, ideo ea ab astris effici credantur, perinde sit quasi aves dicamus effectrices eorum quae significant, et res alias quas respicere solent divinantes. Verum etiam propius consideranda sunt, quaenam ea sint quae praedici solent ex astrorum positu quo quisque natus est tempore, quaeque nonnulli putant a sideribus non indicari tantum sed et effici. Cum ergo iudicantes de genere alicuius dicant eum ortum praeclaro patre ac matre, quomodo dici potest ex astrorum positura, unde praedictio petitur, id fieri, quod iam in parentibus inerat? Rursus vero parentibus ipsis fortunas futuras in progeneratione liberorum et quales futuri sint natorum affectus, et quas habituri sint fortunas nondum satis illis liberis, praedicunt ex paternis sideribus. Imo et ex fratrum sideribus mortes patrum, ex mulierum sideribus mortes maritorum et vice versa. Quomodo ergo stellarum circa unumquemque nascentem positura id efficiet, quod iam ex patribus erant habituri? Nam aut illa priora erunt quae id efficiunt, aut si non illa, ne haec quidem. Praeterea similitudo in formis quam nati cum parentibus habent, ostendit et pulchritudinem et deformitatem ex propria venire origine, non e stellarum cursu. Ac credibile est iisdem temporibus multa simul animantia, multos simul homines gigni, quibus omnibus omnia deberent evenire eadem, cum idem fuerit caeli conspectus. Quomodo igitur ex iisdem stellarum figuris oriantur et homines et tot alia?

VI.

At vero oriuntur singula pro suis naturis, equus

φύσεις, ἵππος μὲν ὅτι ἐξ ἵππου, καὶ ἄνθρωπος, ὅτι ἐξ ἀνθρώπου, καὶ τοιόςδε, ὅτι ἐκ τοιοῦδε. Ἔστω δὲ σύνεργος ἡ τοῦ παντὸς φορὰ συγχωροῦσα τὸ πολὺ τοῖς γινομένοις· ἔστωσαν δὲ πρὸς τὰ τοῦ σώματος πολλὰ σωματικῶς διδόντες, θερμότητας καὶ ψύξεις καὶ σωμάτων κράσεις ἐπακολουθούσας· πῶς οὖν τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα, καὶ μάλιστα οὐχ ὅσα δοκεῖ κράσει σωμάτων δουλεύειν [1]), οἷον γραμματικός τις καὶ γεωμετρικὸς καὶ κυβευτικὸς, καὶ τῶνδέ τις εὑρέτης; Πονηρίᾳ δὲ ἤθους παρὰ θεῶν ὄντων [2]) πῶς ἂν δοθείη καὶ ὅλως ὅσα λέγονται διδόναι κακὰ, κακούμενοι [3]) ὅτι δύνουσι, καὶ ὅτι ὑπὸ γῆν φέρονται ὥςπερ διάφορόν τι παρασχόντων, ἐι πρὸς ἡμᾶς δύνοιεν, ἀλλ' οὐκ ἀεὶ ἐπὶ σφαίρας οὐρανίας φερομένων καὶ πρὸς τὴν γῆν τὴν ἀυτὴν ἐχόντων σχέσιν; Οὐδὲ λεκτέον ὡς ἄλλος ἄλλον ἰδὼν τῶν θεῶν κατ' ἄλλην καὶ ἄλλην στάσιν χείρων ἢ κρείττων γίνεται, ὥς τε ἐυπαθοῦντας μὲν ἡμᾶς ἐῦ ποιεῖν, κακοῦν δὲ, ἐι τἀναντία, ἀλλὰ μᾶλλον ὡς φέρεται μὲν ταῦτα ἐπὶ σωτηρίᾳ τῶν ὅλων, παρέχεται δὲ καὶ ἄλλην χρείαν τὴν τοῦ ἐις ἀυτὰ ὥςπερ γράμματα βλέποντας [4]), τοὺς τὴν τοιαύτην γραμματικὴν ἐιδότας ἀναγινώσκειν τὰ μέλλοντα ἐκ τῶν σχημάτων κατὰ τὸ ἀνάλογον μεθοδεύοντας τὸ σημαινόμενον, ὥςπερ ἔι τις λέγοι [5]), ἐπειδὴ ὑψηλὸς ὄρνις, σημαίνει ὑψηλάς τινας πράξεις.

Z.

Λοιπὸν δὲ ἰδεῖν τὴν ἐπιπλέκουσαν [1]) καὶ οἷον συνείρουσαν ἀλλήλοις πάντα καὶ τὸ πῶς ἀφ' ἑκάστου ἐπιφέρουσαν ἀρχὴν τιθεμένην μίαν, ἀφ' ἧς πάντα κατὰ λόγους σπερματικοὺς [2]) περαίνεται. Ἔστι μὲν οὖν καὶ ἁύτη ἡ δόξα ἐγγὺς ἐκείνης τὴν πᾶσαν καὶ σχέσιν [3]) καὶ κίνησιν ἡμετέραν τε καὶ πᾶσαν ἐκ τῆς τῶν ὅλων ψυχῆς ἥκειν λεγούσης. Ἐι καὶ βούλεταί τις ἡμῖν καὶ ἑκάστοις χαρίζεσθαι ἐις τὸ παρ' ἡμῶν ποιεῖν τι,

ex equo, homo ex homine et talis ex tali. Opituletur sane ad hoc et universi circumactio, sed ita ut haec multa etiam gignentibus relinquat. Deinde dent stellae etiam corporibus multa corpus spectantia, puta calores et frigora et temperaturam ex iis consequentem. At quomodo inde mores et studia et quae nolunt corporis temperamento obsequi? Quomodo inde literator aut mensor aut aleator, aut rerum aliarum repertor? Pravitas autem morum quomodo ab iis dabitur qui Dii sunt? Nam mala dare dicuntur cum ipsi afficiuntur malo, id est cum occidunt, aut subter terram feruntur, quasi novi aliquid patiantur cum nostri causa occidunt, et non semper ferantur caelestium rotatione orbium, et ad terram pariliter se habeant. Neque dicendum ubi Deus alter adspicit alterum ex hac vel illa statione, ob id eum reddi meliorem aut peiorem, ut cum bene illis sit, bene nobis faciant, cum male faciant male: sed potius ferri illa corpora bono universi: interim tamen et alterum praeberc sui usum. Quod in illa spectantes tanquam in literas, isti qui illam norunt literaturam ex figuris legere futura, comparatione quadam indagantes futura, hoc perinde est quasi dicat quis: quia avis conspecta est sublimis, sublimes significare actiones.

VII.

Restat examinemus et illam sententiam quae omnia copulat atque connectit, et unum statuit principium quod qualitates suas cuique assignet et unde cuncta efficiantur per rationes quasdam seminales. Est haec sententia illi suppar quae habitudinem motionemque omnem et nostram et rerum aliarum ab universi anima statuit manare. Et quanquam videtur haec opinio velle nobis largiri aliquid, quasi a nobis aliquid agamus, revera

ἔχει μὲν οὖν τὴν πάντως πάντων ἀνάγκην καὶ πάντων ἐιλημμένων τῶν αἰτίων οὐκ ἔστιν ἕκαστα μὴ οὐ γίγνεσθαι. Οὐδὲν γὰρ ἔτι τὸ κωλύον ἢ ἄλλως γενέσθαι ποιῆσον, ἐι πάντα ἐίληπται ἐν τῇ ἑιμαρμένῃ. Τοιαῦτα δὲ ὄντα ὡς ἀπὸ μιᾶς ἀρχῆς ὡρμημένα, ἡμῖν οὐδὲν καταλείψει ἢ φέρεσθαι ὅπη ἂν ἐκεῖνα ὠθῇ· ἀίτε γὰρ φαντασίαι τοῖς προηγησαμένοις [4]), ἀίτε ὁρμαὶ κατὰ ταύτας ἔσονται, ὄνομά τε μόνον τὸ ἐφ' ἡμῖν ἔσται, τῆς ὁρμῆς κατ' ἐκεῖνα γεννωμένης, τοιοῦτόν τε τὸ ἡμέτερον ἔσται, ὁῖον καὶ τὸ τῶν ἄλλων ζώων, καὶ τὸ τῶν νηπίων καθ' ὁρμὰς τυφλὰς ἰόντων, καὶ τὸ τῶν μαινομένων (ὁρμῶσι γὰρ καὶ οὗτοι) καὶ νὴ Δία αἱ πυρὸς ὁρμαὶ, καὶ πάντα ὅσα δουλεύοντα τῇ αὐτῶν κατασκευῇ φέρεται κατὰ ταύτην. Τοῦτο δὲ καὶ πάντες ὁρῶντες οὐκ ἀμφισβητοῦσιν, ἀλλὰ τῆς ὁρμῆς ταύτης ἄλλας αἰτίας ζητοῦντες, οὐχ ἵστανται ταύτης.

H.

Τίς οὖν ἄλλη αἰτία παρὰ ταύτας ἐπελθοῦσα ἀναίτιόν τε οὐδὲν καταλείψει, ἀκολουθίαν δὲ τηρήσει καὶ τάξιν, ἡμᾶς δέ τι ἐῖναι συγχωρήσει, προῤῥήσεις δὲ καὶ μαντείας οὐκ ἂν ἀναιρήσει; Ψυχὴν δὲ δεῖ ἀρχὴν οὖσαν ἄλλην ἐπεισφέροντας ἐις τὰ ὄντα, οὐ μόνον τὴν τοῦ παντὸς, ἀλλὰ καὶ τὴν ἑκάστου μετὰ ταύτης, ὡς ἀρχῆς οὐ σμικρᾶς οὔσης, πλέκειν τὰ πάντα, οὐ γιγνομένης καὶ αὐτῆς ὥσπερ τὰ ἄλλα ἐκ σπερμάτων, ἀλλὰ πρωτουργοῦ αἰτίας οὔσης. Ἄνευ μὲν οὖν σώματος οὖσα κυριωτάτη τε αὐτῆς καὶ ἐλευθέρα, καὶ κοσμικῆς αἰτίας ἔξω, ἐνεχθεῖσα [1]) δὲ ἐις σῶμα οὐκ ἔτι πάντα κυρία, ὡς ἂν μεθ' ἑτέρων ταχθεῖσα. Τύχαι δὲ τὰ κύκλῳ πάντα, ὁῖς συνέπεσεν ἐλθοῦσα ἐις μέσον, τὰ

tamen omnimodam rerum omnium ponit necessitatem, et causis omnibus simul sumptis non potest non fieri unumquodque eorum quae fiunt. Nihil enim est quod prohibere possit aut efficere ut res fiant aliter, si omnia Fato tenentur, suntque talia ut ab uno principio impulsum accipiant. Haec itaque sententia nihil nobis relinquit, nisi ferri quo nos trahunt res aliae. Nam visa ita erunt ex antegredientibus causis, ex visis vero appetituum motiones. Eius vero quod nostrae potestatis esse dicitur, nudum relinquetur nomen. Neque enim quod appetendo movemur, in eo quicquam habebimus eximii, cum ipsa appetitio secundum illa antecedentia fiat. Neque aliter se habebunt res nostrae quam in animantibus mutis, aut in infantibus, qui caecis moventur appetitibus, aut in furentibus etiam (nam et hi appetitu concitantur) sicut et ignis impetu suo et alia quae structurae suae servientia secundum eam feruntur. Et hoc vident omnes, neque de eo dubitant, sed talis motionis alias quaerentes causas in ipsa nolunt consistere.

VIII.

Quae igitur causa praeter has adveniens nihil relinquet causae expers et consequentiam ordinemque servabit, et permittet nobis esse quod sumus? neque tollet vaticinia et praesignificationes alias? Animam oportet statuere principium esse aliud, rebusque inserere, non illam dumtaxat universi, sed post hanc etiam eam, quae est singulorum, quaeque principium non exiguum est ad res connectendas, cum non, ut res aliae, ex seminio nascatur, sed sit a causa opifice prima profecta. Haec cum extra corpus est, domina est sui opificii et libera et extra causae mundanae imperium. Ubi vero in corpus delata est, non omnino iam domina, ut coniuncta cum rebus aliis. Fortunae vero res circum

πολλὰ ἤγαγον ὥς τε τὰ μὲν ποιεῖν διὰ ταῦτα, τὰ δὲ κρατοῦσαν αὐτὴν ταῦτα ὅπη ἐθέλει ἄγειν, πλείω δὲ κρατεῖν ἡ ἀμείνων, ἐλάττω δὲ ἡ χείρων· ἢ γὰρ κράσει σώματός τι ἐνδιδοῦσα ἐπιθυμεῖν ἢ ὀργίζεσθαι, ἢ ἀναγκάσθαι[1] a), ἢ πενίαις ταπεινὴ, ἢ πλούτοις χαῦνος, ἢ δυνάμεσι τύραννος, ἡ δὲ ἐν τοῖς αὐτοῖς τούτοις ἀντέχειν [2]), ἀγαθὴ τὴν φύσιν, καὶ ἠλλοίωσεν αὐτὰ μᾶλλον ἢ ἠλλοιώθη, ὥς τε τὰ μὲν ἑτερῶσαι, τὰ δε συγχωρῆσαι, μὴ μετὰ κάκης.

Θ.

Ἀναγκαῖα μὲν οὖν ταῦτα, ὅσα προαιρέσει καὶ τύχαις κραθέντα γίνεται. Τί γὰρ ἂν ἔτι καὶ ἄλλο εἴη; Πάντων δὲ ληφθέντων τῶν αἰτίων πάντα πάντως γίνεται· ἐν τοῖς ἔξωθεν καὶ εἴτε ἐκ τῆς φορᾶς συντελεῖται. Ὅταν μὲν οὖν ἀλλοιωθεῖσα παρὰ τῶν ἔξω ψυχὴ πράττῃ τι καὶ ὁρμᾷ, οἷον τυφλῇ τῇ φορᾷ χρωμένη, οὐχὶ ἑκούσιον τὴν πρᾶξιν οὐδὲ τὴν διάθεσιν λεκτέον, καὶ ὅταν αὐτὴ παρ᾽ αὐτῆς χείρων οὖσα περιττὸν [1]) οὐκ ὀρθαῖς πανταχοῦ οὐδὲ ἡγεμονούσαις ταῖς ὁρμαῖς ᾖ [2]) χρωμένη. Λόγον δὲ ὅταν ἡγέμονα καθαρὸν καὶ ἀπαθῆ τὸν οἰκεῖον ἔχουσα ὁρμᾷ ταυτὴν μόνον τὴν ὁρμὴν, φατέον εἶναι ἐφ᾽ ἡμῖν καὶ ἑκούσιον, καὶ τοῦτο εἶναι τὸ ἡμέτερον ἔργον, ὃ μὴ ἄλλοθεν ἦλθεν, ἀλλ᾽ ἔνδοθεν ἀπὸ καθαρᾶς τῆς ψυχῆς, ἀπ᾽ ἀρχῆς πρώτης ἡγουμένης καὶ κυρίας, ἀλλ᾽ οὐ πλάνην ἐξ ἀγνοίας παθούσης· ἢ ἧττον [3]) ἐκ βιᾶς ἐπιθυμιῶν, αἱ προσελθοῦσαι ἄγουσι καὶ ἕλκουσι, καὶ οὐκ ἔτι ἔργα ἐῶσιν εἶναι, ἀλλὰ παθήματα παρ᾽ ἡμῶν.

I.

Τέλος δὲ φησὶν ὁ λόγος πάντα μὲν σημαίνεσθαι καὶ γίγνεσθαι, κατ᾽ αἰτίας μὲν πάντα, διττὰς δὲ ταύ-

omnes, in quas medias anima devenit, versantur, ita ut anima quaedam agat propter illa, nonnulla vero, quorum ipsa est potens, agat pro suo arbitrio. Potens vero est rerum plurium ea quae bona est; pauciorum quae improba est. Quae enim corporis temperaturae cedit, eaque et concupiscere et irasci cogitur, estque aut paupertate abiecta, aut divitiis superba, aut viribus imperiosa. At his omnibus opponit se quae ingenio est bona, mutatque magis illa quam ipsa mutatur, ita ut quaedam corrigat, quaedam sinat ire ipsa vitii expers.

IX.

Necessaria sunt igitur illa quae nascuntur ex dilectu et fortuna. Quid enim sint aliud? Omnibus autem causis simul assumtis fiunt omnia inevitabiliter in rebus externis, et in iis omnibus quae circumactione caelesti efficiuntur. Ubi igitur anima ab externis rebus mutata aliquid efficit, aut cum motu appetit, quasi caeco utens impetu, non illa actio aut animi constitutio sponte suscepta dicenda est, nec cum ipsa per se peior effecta non rectis in posterum neque bene gubernatis utitur appetituum motionibus. At ubi ea rationem accipit sui gubernatricem puram atque imperturbatam, et ea duce appetit, ea demum appetitus motio dici debet esse in nostra potestate et sponte suscepta, et hoc esse nostrum opus quod non aliunde venit, sed ab intimo animae purae a principio primo praesidente ac domino, non autem ex anima ignorantia decepta, aut devicta per cupiditatum violentiam, quae ubi eam occuparunt, raptant eam ac trahunt, nec ultra agere nos sinunt, sed pati cogunt.

X.

Hoc igitur est quod in summam sermo noster collegit, omnia tum fieri, tum significari per causas,

τας, καὶ τὰ μὲν ὑπὸ ψυχῆς, τὰ δὲ δι' ἄλλας αἰτίας τὰς κύκλῳ· πραττούσας δὲ ψυχὰς, ὅσα πράττουσι κατὰ μὲν λόγον ποιούσας ὀρθὸν, παρ' αὑτῶν πράττειν ὅσα πράττουσι [1]), τὰ δὲ ἄλλα ἐμποδιζομένας τὰ αὑτῶν πράττειν [2]), πάσχειν τε μᾶλλον ἢ πράττειν, ὥς τε τοῦ μὲν μὴ φρονεῖν ἄλλα ἄιτια εἶναι. Καὶ ταῦτα ἴσως ὀρθὸν καθ' εἱμαρμένην λέγειν πράττειν, οἷς γε καὶ δοκεῖ ἔξωθεν τὴν εἱμαρμένην αἰτίαν εἶναι· τὰ δὲ ἄριστα παρ' ἡμῶν· (ταύτης γὰρ τῆς φύσεως ἐσμὲν ὅταν μόνοι ὦμεν) καὶ τούς τε σπουδαίους πράττειν, τοὺς δὲ ἄλλους [3]) καθόσον ἂν ἀναπνεύσωσι, συγχωρηθέντες τὰ καλὰ πράττειν, οὐκ ἄλλοθεν λαβόντας τὸ φρονεῖν ὅταν φρονῶσι, μόνον δὲ οὐ κωλυθέντες.



sed causas duorum generum, quaedam enim fieri ab anima quaedam per alias causas quae circum nos sunt. Animas autem agentes ea quae agunt, ubi secundum rectam rationem id faciunt, a se agere quae agunt. Cetera vero impeditas id agere quod suum est, patique magis quam agere. Itaque ut non sapiant alias esse causas, et haec forte recte dicuntur Fato agere ex eorum sententia, quibus Fatum putatur causa esse externa. Optima vero agere nos a nobis ipsis: nam talis ingenii sumus, cum soli sumus. Et viros quidem bonos per se recte agere: alios autem non ultra recte facere quam dum respirare sinuntur: non quod ubi sapiunt, illud sapere habeant aliunde, sed quod in eo non impediantur.

ΕΚ ΤΩΝ ΒΑΡΔΙΣΑΝΟΥ.

[Ex Eusebii Praeparat. Evangel. L. VI. C. X.]

Κατὰ φύσιν ὁ ἄνθρωπος γεννᾶται, τρέφεται, ἀκμάζει, γεννᾷ, ἐσθίει, πίνει, κοιμᾶται, γηρᾷ, ἀποθνήσκει, καὶ τοῦτο παντὸς ἀνθρώπου καὶ παντὸς ἀλόγου ζώου, καὶ τὰ μὲν ἄλλα ζῶα ψυχικὰ ὄντα, καὶ διόλου κατὰ συμπλοκὴν γεγενημένα, διόλου σχεδὸν κατὰ φύσιν φέρεται. Λέων σαρκοφαγεῖ καὶ ἀμύνεται εἴ τι ἀδικηθῇ· καὶ διὰ τοῦτο πάντες οἱ λέοντες σαρκοφαγοῦσι καὶ ἀμύνονται, καὶ ἀμνάδες χορτοφαγοῦσι καὶ κρεῶν οὐχ ἅπτονται, καὶ ἀδικούμεναι οὐκ ἀμύνονται· καὶ ὁ αὐτὸς τρόπος πάσης ἀμνάδος. Σκορπίος γῆν ἐσθίει καὶ τοὺς μὴ ἀδικήσαντας ἀδικεῖ, κέντρῳ ἰοβόλῳ πλήσσων· καὶ ἡ αὐτὴ κακία πάντων σκορπίων. Μύρμηξ κατὰ φύσιν οἶδε χειμῶνος παρουσίαν καὶ δι' ὅλης θερείας κάμνων ἀποτίθεται ἑαυτῷ τροφὰς, καὶ ὁμοίως πάντες μύρμηκες ἐργάζονται. Μέλισσα μέλι γεωργεῖ [1]), ἐξ οὗ καὶ τρέφεται, καὶ ἡ αὐτὴ γεωργία πάσαις μελίσσαις. Καὶ ἦν πολλὰ εἴδη ἐκθέσθαι ἡμῖν τῶν ζώων, ἅτινα τῆς φύσεως μὴ δυνάμενα ἐκστῆναι, πολὺν θαυμασμὸν παρασχεῖν ἡμῖν ἐδύναντο· ἀλλ' αὐτάρκη ἡγησάμην ἐκ τῶν παρακειμένων τὴν ἀπόδειξιν ποιήσασθαι, ὅτι τὰ μὲν ἄλλα ζῶα κατὰ τὴν κοινότητα

BARDESANIS SYRI FRAGMENTUM.

Adversus Astrologos.

(Eodem Hugone Grotio interprete.)

Secundum naturam homo gignitur, alitur, gignit, edit, bibit, dormit, senescit, moritur. Et haec communia sunt hominibus omnibus et mutis etiam animantibus. At caetera animantia anima non animo praedita, sicut totum sui ortum sexuum copulationi debent, ita ferme secundum naturam feruntur. Leo carnibus vescitur et laesus se ulciscitur; et ob id omnes leones et carnibus vescuntur et ulciscuntur sese. Agni herba pascuntur, carnes non attingunt, et laesi se non ulciscuntur, atque id omnibus agnis ingenium est. Scorpius terram edit, laeditque non laesus ipse, venenata cuspide verberans: et haec malitia est omnibus scorpiis. Formica per naturam novit hiemem venturam, et aestate tota laborans recondit sibi alimenta: et sic laborant formicae omnes. Apis mel fabricatur et inde pascitur, et sic fabricantur apes omnes. Possem multas adferre alias species animantium, quae cum a natura sua nequeant abscedere, multam nobis praebent admirandi materiam; sed sufficere arbitratus sum productis exemplis testatum facere, alia quidem animantia pro ea natura quae ipsis, aut in commune,

καὶ τὴν διαφορὰν κατὰ φύσιν δοθεῖσαν ἑκάστῳ ἐξ ἀνάγκης ἡδέως φέρεται· ἀνθρώποι δὲ μόνοι τὰ ἐξαίρετον ἔχοντες, τόν τε νοῦν καὶ τὸν ἐκ τούτου προφερόμενον λόγον, κατὰ μὲν τὴν κοινότητα ἕπονται τῇ φύσει (ὡς προεῖπον) κατὰ δὲ τὸ ἐξαίρετον οὐ τῇ φύσει πολιτεύονται. Οὐδὲ γὰρ μία βρῶσις τῶν ἁπάντων· ἄλλοι μὲν κατὰ τοὺς λέοντας τρέφονται, ἄλλοι δε κατὰ τὰς ἀμνάδας, οὐχ ἓν ἔχοντες σχῆμα φορημάτων, οὐκ ἔθος ἓν, οὐχ εἷς νόμος πολιτείας ἐν αὐτοῖς, οὐ μία κίνησις ἐπιθυμίας τῶν πραγμάτων· ἀλλ᾿ ἕκαστος τῶν ἀνθρώπων κατὰ τὴν ἰδίαν θέλησιν αἱρεῖται ἑαυτῷ βίον, τὸν πλησίον μὴ μιμούμενος, πλὴν ἐν οἷς βούλεται. Τὸ δὲ ἐλεύθερον αὐτοῦ οὐχ ὑπόκειται δουλείᾳ, καὶ εἴ ποτε ἑκὼν δουλεύσει, καὶ τοῦτο τῆς ἐλευθερίας αὐτοῦ ἐστι, τὸ δύνασθαι δουλεύειν ἑκόντα. Πόσοι τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν Ἀλαναίων [3]), ὡς τὰ ἄγρια ζῶα κρεοβοροῦσι, ἄρτου μὴ γευόμενοι, καὶ οὐ διὰ τὸ μὴ ἔχειν, ἀλλὰ διὰ τὸ μή θέλειν; Ἄλλοι κρεῶν οὐ γεύονται ὡς τὰ ἥμερα ζῶα· ἄλλοι ἰχθυοφαγοῦσι μόνον, ἕτεροι δὲ ἰχθύων οὐ γεύονται, οὐδ᾿ ἂν λιμώσσωσιν. Οἱ μὲν ὑδροποτοῦσιν, οἱ δὲ οἰνοποτοῦσιν, οἱ δὲ σίκερα πίνουσι. Καὶ ἁπλῶς πολλὴ διαφορὰ βρωμάτων καὶ πομάτων ἐν τῇ ἀνθρωπότητι, μέχρι καὶ ἐν τῇ τῶν λαχάνων καὶ ὀπορῶν βρώσει διαφερόμενοι [4]). Ἀλλὰ καὶ οἱ μὲν ὡς σκόρπιοι, καὶ ὡς ἀσπίδες μὴ ἀδικηθέντες ἀδικοῦσιν· οἱ δὲ ὡς τὰ ἄλογα ζῶα, ἀδικούμενοι ἀμύνονται, ἕτεροι δὲ ὡς λύκοι ἁρπάζουσι, καὶ ὡς γαλαὶ κλέπτουσιν· ἄλλοι δὲ ὡς ἀμνάδες καὶ μηκάδες ὑπὸ τῶν ὁμοιοπαθῶν ἐλαύνονται [5]), καὶ τοὺς ἀδικοῦντας οὐκ ἀδικοῦσι. Καὶ οἱ μὲν λέγονται ἀγαθοὶ, οἱ δὲ κακοὶ, οἱ δὲ δίκαιοι. Ὅθεν ἐστὶ νοεῖν μὴ πάντως κατὰ φύσιν ἄγεσθαι τὸν ἄνθρωπον (ποίαν γὰρ αὐτοῦ ἐροῦμεν φύσιν;) ἀλλὰ πῇ μὲν φέρεται κατὰ φύσιν, πῇ δὲ κατὰ προαίρεσιν· διὸ τὸν ἔπαινον καὶ τὸν ψόγον καὶ τὴν

aut differenter data est, non gravate ferri. At homines eximiam habentes mentem et sermonem qui ex mente procedit, in eo quod cum aliis animantibus commune habent, sequuntur naturam, ut iam dixi: at secundum quod habent eximium, non ex natura vitam degunt. Non enim omnibus idem cibatus: alii enim leonum more, alii agnorum more se pascunt, neque vero idem habent genus vestis, neque mores eosdem: non eadem omnibus lex civilis, non eadem ad res appetendas motio: sed hominum quisque pro sua voluntate vitam sibi deligit, alterum non imitans ultra quam ipsi placet. Nam quae in illis est libertas servitutem non patitur et si quando sponte servit, et hoc ad libertatem eius pertinet, posse servire si velit. Quam multi homines maxime apud Alanos, ferarum modo carnes vorant, pane non vescuntur, non quod non habeant, sed quia eo vesci nolunt. Alii vero sicut mansueta animantium de carne nihil gustant. Alii piscibus vescuntur solis, alii plane a piscibus abstinent, etiamsi esuriant maxime. Sunt qui aquas solas potent, vinum alii, siceram alii. Atque omnino magna est in humano genere ciborum potusque discretio, ita ut et circa herbas et poma esu differant. Praeterea vero quidam, ut scorpii, ut aspides laedunt nec laesi; quidam ut alia quaedam animantia laesi se vindicant, alii rapiunt ut lupi, aut furantur ut mustelae. Alii ut agni et caprae ducem sui gregis sequuntur, laedunt vero nec eos a quibus laesi sunt; quo fit ut alii dicantur boni: alii mali, alii iusti. Ex quibus intelligi potest non omnino secundum naturam ferri hominem. (Quam enim dicemus eius propriam esse naturam?) Sed partim quidem natura fertur, partim vero dilectu, et propterea laudem, vituperationem, damnationem pro ipso dilectu accipit. In iis vero

καταδίκην ἔχει ἐν τοῖς κατὰ προαίρεσιν· ἐν δὲ τοῖς κατὰ φύσιν ἔχει τὴν ἀνεγκλησίαν οὐ κατὰ ἔλεος, ἀλλὰ κατὰ λόγον.

Καὶ ἑξῆς φησί.

Νόμους ἔθεντο διαφόρους οἱ ἄνθρωποι ἐν ἑκάστῃ χώρᾳ, τινὰς γεγραμμένους, τινὰς δὲ ἀγράφους· ἐξ ὧν διηγήσομαι ὡς οἶδα καὶ ὧν μέμνημαι, ἀρξάμενος ἐκ τῆς κόσμου ἀρχῆς. Νόμος ἐστὶ παρὰ Σήραις [6]) μηδένα φονεύειν, μήτε πορνεύειν, μήτε κλέπτειν, μήτε ξόανα προςκυνεῖν. Καὶ ἐν ἐκείνῃ τῇ μεγίστῃ χώρᾳ οὐ ναόν ἐστιν ἰδεῖν, οὐ γυναῖκα πορνικὴν, οὐ μοιχαλίδα ὀνομαζομένην, οὐ κλέπτην ἑλκόμενον ἐπὶ δίκην, οὐκ ἀνδροφόνον, οὐ πεφονευμένον. Οὐδενὸς γὰρ τὸ αὐτεξούσιον ἠνάγκασεν ὁ τοῦ πυριλαμπέος Ἄρεος ἀστὴρ μεσουρανῶν ἄνδρα σιδήρῳ ἀνελεῖν, οὐ Κύπρις σὺν Ἄρει τυχοῦσα ἀλλοτρίᾳ γυναικὶ μιγῆναί τινα παρ᾽ ἐκείνοις, πάντως πάσῃ ἡμέρᾳ μεσουρανοῦντος τοῦ Ἄρεος, καὶ πάσῃ ὥρᾳ καὶ ἡμέρᾳ γεννωμένων τῶν Σηρῶν. Παρὰ Ἰνδοῖς καὶ Βάκτροις εἰσὶ χιλιάδες πολλαὶ τῶν λεγομένων Βραχμάνων [7]) οἵ τινες κατὰ παράδοσιν τῶν προγόνων καὶ νόμων, οὔτε φονεύουσιν, οὔτε ξόανα σέβονται, οὔτ᾽ ἐμψύχου γεύονται [8]), οὐ μεθύσκονταί ποτε„ οἴνου καὶ σικέρας μὴ γευόμενοι, οὐ κακίᾳ τινὶ κοινωνοῦσι προσέχοντες τῷ θεῷ, τῶν ἄλλων Ἰνδῶν φονευόντων, καὶ ἑταιρευόντων, καὶ μεθυσκομένων, καὶ σεβομένων ξόανα, καὶ πάντα σχεδὸν καθ᾽ εἱμαρμένην φερομένων. Ἔστι δὲ ἐν τῷ αὐτῷ κλίματι τῆς Ἰνδίας φυλή τις Ἰνδῶν [9]), οἵ τινες τοὺς ἐμπίπτοντας ξένους ἀγρεύοντες, καὶ τούτους θύοντες ἐσθίουσι· καὶ οὔτε οἱ ἀγαθοποιοὶ τῶν ἄστρων κεκωλύκασι τούτους μὴ μιαιφονεῖν καὶ μὴ ἀθεμιτογαμεῖν, οὔτε οἱ κακοποιοὶ ἠνάγκασαν τοὺς Βραχμᾶνας κακουργεῖν. Παρὰ Πέρσαις [10]) νόμος ἦν γαμεῖν τὰς θυγατέρας καὶ τὰς μη-

quae ex natura agit absolvitur non miseratione, sed ratione.

Postea.

Leges differentes fixere homines in quoque tractu partim scriptas, partim non scriptas: quarum recitabo quas novi et quarum memini, ab ipsa mundi origine incipiens. Lex est apud Seres, ne quis occidat, ne quis scortetur, ne quis furetur, ne quis simulacra veneretur. Et in illo tractu latissime patente non videas templum, non feminam quae dicatur meretrix vel adultera, non furem in ius rapi, neminem esse qui interficiat, aut qui interficiatur. Neque enim libertati necessitatem ibi imponit flammanti sidere Mavors medio caeli spatio se tenens, ut homo hominem ferro necet: non Venus Marti iuncta apud illos facit ut quis cubet cum aliena matrefamilias, cum tamen nullo non die Mars medium caeli teneat, omnique hora ac die nascantur aliqui apud Seras. Apud Indos et Bactrianos multa millia sunt eorum quos dicunt Brachmanas qui secundum legem maiorumque suorum instituta vivunt, neque interficiunt quicquam, neque simulacra venerantur, non gustant de iis quae animam habuere: nunquam inebriantur, cum nec vinum nec siceram gustent, nulli pravitati se admiscent, Deo dantes operam, cum alii Indi occidant se mutuo, scortentur, inebrientur, advolvantur simulacris, et ferme per omnia Fato ferri se sinant. Est in eadem Indiae plaga natio, quae peregrinos, ut quemque reperit, capit, et sacrificii causa interficit. Neque benigna sidera hos prohibent caedibus et iniustis nuptiis attaminari, neque maligna sidera Brachmanas ad malefacta cogunt. Apud Persas lex fuit uxores sumere filias, sorores, etiam matres: neque

τέρας· καὶ οὐ μόνον ἐν τῇ χώρᾳ ἐκείνῃ καὶ ἐν ἐκείνῳ τῷ κλίματι τούτους τοὺς ἀνοσίους γάμους οἱ Πέρσαι ἐποίησαν, ἀλλὰ καὶ ὅσοι αὐτῶν τῆς Περσίδος ἐξεδήμησαν, οἵ τινες καλοῦνται Μαγουσαῖοι [11]), τὴν αὐτὴν ἀθεμιστίαν διαπράττονται, παραδιδόντες τοὺς αὐτοὺς νόμους καὶ τὰ ἔθη τοῖς τέκνοις κατὰ διαδοχὴν, ἐξ ὧν εἰσι μέχρι νῦν πολλοὶ ἐν Μηδίᾳ, καὶ ἐν Αἰγύπτῳ, καὶ ἐν Φρυγίᾳ, καὶ ἐν Γαλατίᾳ. Καὶ οὐ δήπου Κύπρις ἐν ὁρίοις καὶ οἴκοις Κρόνου, σὺν Κρόνῳ ἐφομαρτοῦντος τοῦ Ἄρεος ἐν ταῖς τῶν πάντων γενέσεσιν εὑρίσκετο. Παρὰ Γήλοις [12]) νόμος ἐστὶ τὰς γυναῖκας γεωργεῖν καὶ οἰκοδομεῖν, καὶ πάντα τὰ ἐργατικὰ πράσσειν, καὶ κοινωνεῖν, οἷς ἂν βούλωνται, καὶ μὴ ἐγκαλεῖσθαι ὑπὸ τῶν ἀνδρῶν, μήτε καλεῖσθαί τινα μοιχαλίδα, τῷ πάσας ἐργατικὰς εἶναι, καὶ πᾶσι κοινωνεῖν, μάλιστα δὲ τοῖς ξένοις. Καὶ οὔτε μυρίζονται Γήλισσαι γυναῖκες, οὐχ ἱμάτια βαπτὰ φοροῦσιν, ἀνυπόδητοι δέ εἰσι πᾶσαι, καί τοι τῶν Γηλῶν ἀνδρῶν κοσμουμένων ἐν φορήμασι μαλακοῖς, καὶ ἐν διαφόροις χρώμασι καὶ χρυσοφορούντων καὶ μυριζομένων· καὶ οὐ κατά τινα ἄλλην μαλακίαν, εἰσὶ γὰρ ἀνδρεῖοι καὶ πολεμικώτατοι, καὶ κυνηγετικώτατοι. Καὶ οὐ πᾶσαι αἱ τῶν Γηλῶν γυναῖκες ἔλαχον ἐν Αἰγοκέρωτι καὶ ἐν Ὑδρηχόῳ κακοδαιμονοῦσαν τὴν Κύπριν, οὐδ' οἱ ἄνδρες αὐτῶν πάντες ἔχουσιν ἐν Κριῷ σὺν Ἄρει τὴν Παφίην, ἔνθα τοὺς ἀνδρείους καὶ σπατάλους οἱ χαλδαΐζοντες λέγουσι. Παρὰ Βάκτροις [13]) αἱ γυναῖκες παντὶ κόσμῳ διαφέροντι, καὶ παντὶ μύρῳ χρῶνται, ὑπηρετούμεναι ὑπὸ παιδίσκων, καὶ νεανίσκων μᾶλλον ἢ οἱ ἄνδρες, προερχόμεναι μετὰ πολλῆς φαντασίας ἔφιπποι, κοσμοῦνται πολλῷ χρυσῷ καὶ λίθοις βαρυτίμοις τοὺς ἵππους, καὶ οὐ σωφρονοῦσιν, ἀλλ' ἀδιαφόροις κοινωνοῦσι τοῖς δούλοις καὶ τοῖς ξένοις, ἄδειαν ἔχουσαι τοιαύτην καὶ ὑπὸ τῶν ἀνδρῶν μὴ ἐγκαλούμεναι, σχεδὸν κυριεύουσαι

vero in sua tantum patria proprioque tractu Persae nefariis se nuptiis implicant, sed et qui eorum extra Persidem habitant, dicunturque Magusaei, eadem patrant flagitia, tradentes istas leges atque instituta posteris per manus: quorum multi nunc sunt et in Media et in Aegypto et in Phrygia et Galatia. Neque tamen in omnium eorum genitura conspecta est Venus in finibus et domiciliis Saturni, Saturnum comitante Marte. Apud Gelonos mos est, ut feminae agrum colant, domos fabricent, omniaque faciant opificia, et quibuscum velint, consuescant, maribus de eo nihil conquerentibus, ita ut nulla sit quae vocetur adultera, ideo quod omnes sint eius quaestus, et concumbant cum omnibus, maxime cum exteris. Neque vero unguntur Gelonae mulieres, neque vestes ferunt tinctas, sed sunt pedibus nudae: cum tamen viri illis in locis exornent se vestimentis delicatis et discoloribus, et aurum gestent, et ungantur non ex ulla mollitie; sunt enim fortes, belloque et venatibus exerciti. Neque tamen omnes mulieres Gelonae habuere sibi Venerem infestam in Capricorni aut Aquarii sidere, neque viri omnes habuerunt cum Marte Venerem in Ariete, unde viros fortes simul, et a deliciis non alienos deducunt Chaldaei. Apud Bactrianos feminae ornatu qui splendidissimus et omni unguento utuntur, habentque ministeria puellarum et adolescentum plura quam viri, proceduntque vectae equis magna cum ostentatione, etiam equis ipsorum ornatis multo auro et lapidibus pretiosis, neque vero castae sunt, sed promiscue se vulgant etiam servis et peregrinis licentia ipsis concessa, nulla cum querela maritorum, in quos quasi dominatum exercent. Neque tamen in genitura omnium mulierum Bactrianarum caeli culmen tenet cum Iove ac Marte, et quidem intra eorum fines amans

αὐτῶν. Καὶ οὐ πάντως ἐν πάσῃ γενέσει τῶν ἐν Βακτρίᾳ γυναικῶν μεσουρανεῖ μετὰ Διὸς καὶ Ἄρεος ἐν ἰδίοις ὅροις ἡ φιλόγελως Ἀφροδίτη. Ἐν δὲ τῇ Ἀραβίᾳ, καὶ τῇ Ὀσροηνῇ [14]) οὐ μόνον αἱ μοιχαλίδες φονεύονται, ἀλλὰ καὶ ὑποπτευόμεναι οὐκ ἀφίενται ἀτιμώρητοι. Παρὰ Πάρθοις [15]) καὶ Ἀρμενίοις οἱ φονεῖς ἀναιροῦνται, ποτὲ μὲν ὑπὸ τῶν δικαστῶν, ποτὲ δὲ ὑπὸ τῶν συγγενῶν τῶν φονευομένων, καὶ ἐάν τις φονεύσῃ γυναῖκα αὐτοῦ, ἢ ἀδελφὸν ἄτεκνον, ἢ ἀδελφὴν ἄγαμον, ἢ υἱὸν, ἢ θυγατέρα, οὐκ ἐγκαλεῖται ὑπό τινός, νόμου τοιούτου ὑπάρχοντος ἐν ταῖς χώραις ἐκείναις· παρ᾽ Ἕλλησι δὲ καὶ Ῥωμαίοις μείζονι τιμωρίᾳ ὑποβάλλονται οἱ τῶν οἰκείων καὶ συγγενῶν φονευταί. Ἐν Ἄτροις [16]) ὁ κλέπτων τι ὀβόλου ἄξιον λιθάζεται· παρὰ Βάκτροις ὀλίγα κλέπτων ἐμπτύεται· παρὰ Ῥωμαίοις πληγαῖς αἰκίζεται, τοιοῦτοι γὰρ οἱ νόμοι. Ἀπὸ Εὐφράτου ποταμοῦ καὶ μέχρι τοῦ Ὠκεανοῦ ὡς ἐπὶ ἀνατολὰς, ὁ λοιδορούμενος ὡς φονεὺς, ἢ ὡς κλέπτης οὐ πάνυ ἀγανακτεῖ· ὁ δὲ ὡς ἀρσενοκοίτης ἑαυτὸν ἐκδικεῖ μέχρι καὶ φόνου. Παρ᾽ Ἕλλησι καὶ οἱ σοφοὶ ἐρωμένους ἔχοντες οὐ ψέγονται. Ἐν τῇ αὐτῇ Ἀνατολῇ [17]) ὑβριζόμενοι, ἐὰν γνωσθῶσιν, ὑπὸ ἀδελφῶν ἢ πατέρων καὶ συγγενῶν φονεύονται, καὶ ταφῆς προδήλου οὐκ ἀξιοῦνται. Παρὰ δὲ Γάλλοις [18]) οἱ νέοι γαμοῦνται [18 a]) μετὰ παῤῥησίας, οὐ ψόγον τοῦτο ἡγούμενοι, διὰ τὸν παρ᾽ αὐτοῖς νόμον. Καὶ οὐ δυνατόν ἐστι πάντας τοὺς ἐν Γαλλίᾳ οὕτως ἀθέως ὑβριζομένους λαχεῖν ἐν ταῖς γενέσεσι Φωσφόρον μεθ᾽ Ἑρμοῦ ἐν οἴκοις Κρόνου καὶ ὁρίοις Ἄρεος δύνοντας. Ἐν Βρεττανίᾳ πολλοὶ ἄνδρες μίαν γυναῖκα ἔχουσιν· ἐν δὲ τῇ Παρθίᾳ πολλαὶ γυναῖκες ἕνα ἄνδρα, καὶ πᾶσαι σωφρονοῦσαι πειθόμεναι αὐτῷ κατὰ τὸν νόμον. Αἱ δὲ Ἀμαζόνες πᾶσαι ἄνδρας οὐκ ἔχουσιν, ἀλλ᾽ ὡς τὰ ἄλογα ζῶα ἅπαξ τοῦ ἔθους περὶ τὴν ἐαρινὴν ἰσημερίαν, ὑπερβαίνουσαι τοὺς ἰδίους

risuum Venus. At vero in Arabia et in Osroene non solum interficiuntur adulterae, sed nec impune ferunt quae suspicionem de se dederunt. Apud Parthos et Armenios occiduntur homicidae, interdum per iudices, interdum per eorum propinquos qui interfecti fuere. At si quis interfecerit uxorem suam, aut fratrem qui liberos non habeat, aut sororem innuptam, aut filium, aut filiam, is a nemine accusatur, quod ita se habeat lex istarum regionum; contra vero apud Graecos et Romanos graviori poenae subiiciuntur, qui propinquos aut necessarios suos occiderint. Apud Atros qui furatus fuerit quantum obolus valet, lapidatur. Apud Bactrianos qui modicum quid furatus fuerit, conspuitur: apud Romanos vapulat. Ab Euphrate fluvio usque ad Oceanum orientalem qui per convicium appellatur homicida aut fur, non admodum succenset, at qui pullipremo dicitur is se vindicat etiam caede. Apud Graecos etiam sapientibus culpae non datur, si habeant in amoribus pueros; at in oriente quibus sic illusum est, si res patescat, a fratribus, aut patribus aut propinquis necantur, ac ne sepultura quidem, nisi clandestina digni habentur. At apud Gallos etiam nubunt adolescentuli, et quidem palam, non turpe ducentes ob legem apud ipsos receptam. Neque vero fieri potest, ut omnes, qui in Gallia sic turpiter tractantur, in genitura habuerint Luciferum et Mercurium in domiciliis Saturni et finibus Martis obeuntes. In Britannia multi viri unam uxorem habent, in Parthia multae uxóres unum virum, et omnes pudice se gerunt, et viro obediunt ex lege, quae est illis in locis; Amazones vero viros non habent, sed ut muta animantia semel anno circa vernum aequinoctium egressae proprios fines cum finitimis, qui eum diem festum habent, Venerem iungunt: ex

ὅρους, κοινωνοῦσι τοῖς πλησιοχώροις ἑορτήν τινα ταύτην ἡγουμένοις· ἐξ ὧν συλλαμβάνουσαι ὑποστρέφουσι, καὶ ἀναγκαίως ἐν ἑνὶ καιρῷ ἀποκυΐσκουσι κατὰ τὸν τῆς φύσεως νόμον, καὶ τοὺς μὲν γεννωμένους ἄῤῥενας ῥίπτουσι [19]), τὰς δὲ θηλείας ἀνατρέφουσι· πολεμικαί δέ εισι καὶ γυμνασίων προνοούμεναι. Ἑρμῆς μετὰ Ἀφροδίτης ἐν οἴκοις Ἑρμοῦ ποιεῖ πλάστας καὶ ζωγράφους, καὶ τραπεζίτας· ἐν οἴκοις δὲ Ἀφροδίτης μυρεψοὺς, καὶ φωνάσκους καὶ ὑποκριτὰς ποιημάτων. Καὶ παρὰ Ταϊνοῖς [20]) καὶ Σαρακηνοῖς [21]) καὶ ἐν τῇ ἀνωτέρα Λιβύῃ, καὶ παρὰ Μαύροις, καὶ παρὰ τοῖς παρὰ τὸ στόμα Ὠκεανοῦ Νομάσι, καὶ ἐν τῇ ἐξωτέρᾳ Γερμανίᾳ, καὶ ἐν τῇ ἀνωτέρᾳ Σαρματίᾳ, καὶ ἐν τῇ Σκυθίᾳ, καὶ ἐν πᾶσι τοῖς ἐξ Ἀρκτικῶν μερῶν τοῦ Πόντου ἔθνεσι, καὶ ὅλῃ τῇ Ἀλανίᾳ [22]) καὶ Ἀλβανίᾳ [23]) καὶ Ὠτηνῇ [24]) καὶ Σαυνίᾳ [25]) καὶ ἐν Χρυσῇ [26]) οὐκ ἔστιν ἰδεῖν, οὐ τραπεζίτην, οὐ πλάστην, οὐ ζώγραφον, οὐκ ἀρχιτέκτονα, οὐ γεωμέτρην, οὐ φώνασκον. οὐχ ὑποκριτὴν ποιημάτων· ἀλλ᾽ ἐστέρηται ὁ τῆς τοῦ Ἑρμοῦ καὶ τῆς Ἀφροδίτης ἐνεργείας τρόπος ἐν ὅλῳ τῷ κύκλῳ τούτῳ τῆς οἰκουμένης. Οἱ Μῆδοι πάντες τοῖς μετὰ σπουδῆς τρεφομένοις κυσὶ τοὺς νεκροὺς ἔτι ἐμπνέοντας παραβάλλουσι· καὶ οὐ πάντες σὺν τῇ Μήνῃ τὸν Ἀρέα ἐφημερινῆς γενέσεως ἐν Καρκίνῳ ὑπὸ γῆν ἔχουσιν. Ἰνδοὶ τοὺς νεκροὺς καίουσι, μεθ᾽ ὧν συγκαίουσι ἑκούσας τὰς γυναῖκας· καὶ οὐ δήπου πᾶσαι αἱ καιόμεναι ζῶσαι Ἰνδῶν γυναῖκες ἔχουσιν ὑπὸ γῆν ἐπὶ νυκτερινῆς γενέσεως σὺν Ἄρει τὸν Ἥλιον ἐν Λέοντι, ὁρίοις Ἄρεος. Γερμανῶν οἱ πλεῖστοι ἀγχονιμαίῳ μόρῳ ἀποθνήσκουσι [27]) καὶ οὐ πάντως τὸ πλῆθος τῶν Γερμανῶν τὴν Σελήνην καὶ τὴν ὥραν μεσολαβομένας ὑπὸ Κρόνου καὶ Ἄρεος ἔχει. Παντὶ ἔθνει καὶ πάσῃ ἡμέρᾳ καὶ παντὶ τόπῳ τῆς γενέσεως [28]) γεννῶνται ἄνθρωποι· κρατεῖ δὲ ἐν ἑκάστῃ μοίρᾳ τῶν ἀνθρώπων

quibus ubi conceperint, tum redeunt, et necessario, ut fert naturae lex, circa unum tempus omnes partu exsolvuntur: et natos quidem sibi mares exponunt, filias vero educant. Sunt autem Amazones istae bellatrices, magnaque cura corpora exercent. Mercurius Veneri coniunctus in Mercurii domiciliis facit fictores et pictores et mensarios, in domiciliis autem Veneris unguentarios, phonascos, histriones. Apud Tanitas, et Saracenos et in superiore Libya, et apud Mauros Numidasque illos, qui fretum Oceani accolunt, et in trans — Rhenana Germania, et in superiore Sarmatia, et in Scythia, et apud omnes gentes quae sunt in Septentrionalibus Ponti, et in omni Alania et Albania, et Odogena et Saunia et Aurea terra nullum est videre mensarium, aut fictorem aut pictorem, sed nec architectum, nec mensorem, nec phonascum, nec histrionem; sed illa vivendi ratio, quae efficientiae tribuitur Mercurii et Veneris, deficit in tanto illo terrarum ambitu. Medi omnes canibus cum cura educatis homines moribundos adhuc spirantes obiiciunt. Et non omnes tempore diurni ortus sui Martem habuere cum Venere subter terram in Cancri sidere. Inde mortuos cremant, et cum eis mulieres id ipsum appetentes: Neque tamen omnes illae mulieres Indae quae vivae comburuntur habent tempore ortus sui Solem cum Marte in Leone intra Solis fines. Germanorum plurimi anginae malo intereunt, neque tamen tanta Germanorum multitudo Lunam et horam genitutrae habent interceptas a Saturno et Marte. In nulla non gente, in nulla non die, in nullo non loco genitabili gignuntur homines; et in quaque parte regit homines lex et consuetudo propter eam quae est in hominibus, libertatem. Neque genitura Seras cogit nolentes homicidium committere, aut Brachmanas vesci

νόμος καὶ ἔθος, διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου; καὶ οὐκ ἀναγκάζει ἡ γένεσις τοὺς Σῆρας μὴ θέλοντας φονεύειν, ἢ τοὺς Βραχμᾶνας κρεοφαγεῖν, ἢ τοὺς Πέρσας ἀθεμίτως μὴ γαμεῖν, ἢ τοὺς Ἴνδους μὴ καίεσθαι, ἢ τοὺς Μήδους μὴ ἐσθίεσθαι ὑπὸ κυνῶν [29]), ἢ τοὺς Πάρθους μὴ πολυγαμεῖν, ἢ τὰς ἐν τῇ Μεσοποταμίᾳ γυναῖκας μὴ σωφρονεῖν, ἢ τοὺς Ἕλληνας μὴ γυμνάζεσθαι γυμνοῖς τοῖς σώμασιν, ἢ τοὺς Ῥωμαίους μὴ κρατεῖν, ἢ τοὺς Γάλλους μὴ γυμνεῖσθαι, ἢ τὰ ἄλλα βάρβαρα ἔθνη ταῖς ὑπὸ τῶν Ἑλλήνων λεγομέναις Μούσαις κοινωνεῖν. Ἀλλ' ὡς προεῖπον, ἕκαστον ἔθνος καὶ ἕκαστος τῶν ἀνθρώπων χρῆται τῇ ἑαυτοῦ ἐλευθερίᾳ ὡς βούλεται, καὶ ὅτε βούλεται, καὶ δουλεύει τῇ γενέσει καὶ τῇ φύσει, δι' ἣν περίκειται σάρκα, πῇ μὲν ὡς βούλεται, πῇ δὲ ὡς μὴ βούλεται· πανταχῇ γὰρ καὶ ἐν παντὶ ἔθνει εἰσὶ πλούσιοι καὶ πένητες, καὶ ἄρχοντες καὶ ἀρχόμενοι, καὶ ἐῤῥωμένοι καὶ νοσοῦντες ἕκαστος κατὰ τοὺς τῆς γενέσεως αὐτοῦ κλήρους. — Ταῦτα ὦ Βαρδισάνη, ἄκρως ἡμᾶς πέπεικε, φημὶ αὐτῷ. Οἱ δὲ ἀστρονόμοι φασὶ τὴν γῆν ταύτην μεμερίσθαι εἰς ἑπτὰ κλίματα, καὶ ἄρχειν ἑκάστου κλίματος ἕνα τῶν ἑπτὰ ἀστέρων, καὶ τοὺς διαφόρους νόμους μὲν τοὺς ἀνθρώπους τεθεικέναι ἑαυτοῖς, ἀλλ' ἑκάστου ἄρχοντας πλεονάζειν τὸ θέλημα ἐν τῇ ἰδίᾳ χώρᾳ, ὃν νόμον νενομήκασιν οἱ κρατούμενοι. — Ἀπεκρίνατο· οὐκ ἀληθὴς ἡ ἀπόκρισις [30]) αὕτη, ὦ Φίλιππε. Εἰ γὰρ καὶ διῄρηται ἡ οἰκουμένη εἰς μέρη ἑπτὰ, ἀλλ' οὖν γε ἐν μιᾷ μερίδι εὑρίσκομεν πολλὰς διαφορὰς νόμων. Οὐδὲ γὰρ ἑπτὰ νόμοι εἰσὶ κατὰ τοὺς ἑπτὰ ἀστέρας, οὐδὲ δώδεκα κατὰ τὰ ζώδια, οὐδε τριάκοντα ἓξ κατὰ τοὺς Δεκανοὺς [31]), ἀλλὰ μύριοι. Μνημονεύειν τε ὀφείλετε ὧν προεῖπον, ὅτι καὶ ἐν ἑνὶ κλίματι καὶ ἐν μιᾷ χώρᾳ τῶν Ἰνδῶν εἰσὶν ἀνθρωποφάγοι Ἰνδοὶ, καὶ εἰσιν οἱ ἐμψύχων ἀπεχόμενοι· καὶ ὅτι οἱ Μαγου-

carnibus, aut, ab iniustis nuptiis abstinere Persas, neque Indos uri prohibet, aut a canibus edi Medos, aut multis matrimoniis iungi Parthos, aut castas esse Mesopotamiae feminas, aut Graecos exerceri nudis corporibus, aut Romanos imperare, aut Gallorum iuvenes nubere, neque barbaras gentes adigit participare Graecorum, ut loquimur, Musas. Sed, ut dixi, gens quaeque et hominum quisque utitur sua libertate ut vult et quando vult, servitque origini et naturae per quam carne est circumdatus, partim volens partim nec volens. Ubique enim locorum et in omni gente sunt divites, sunt pauperes, sunt qui imperant, sunt qui parent, sunt bene valentes, sunt aegroti, quisque pro ortus sui sorte. Haec, Bardesane, dixi ego, valde se nobis persuadent. Verum aiunt Astronomi, terram omnem dividi in tractus septem: unicuique autem tractui praeesse unam de vagis stellis: neque vero homines ipsos sibi legum istarum differentium fuisse auctores, sed in quoque tractu propellere arbitrium regnantis ibi sideris, idque ipsum pro lege haberi a subditis ipsis populis. At Bardesanes: Non id quod verum est in se habet ista responsio, Philippe. Etsi enim terrarum orbis in partes dividatur septem, tamen in una parte videmus multas legum differentias. Neque enim septem tantummodo leges sunt, ut septem sidera, neque duodecim, quot sunt signa in signifero: neque triginta sex, pro signis Decanis, sed innumerae. Meminisse autem debetis eius quod ante dixi, in una parte ac tractu Indorum alios esse Indos, qui hominum carne vescantur, alios qui ab omni carne abstineant, et Magusaeos non in Perside sola filias sibi facere uxores, sed in quacunque gente habitent, observare eos maiorum leges et initia Mystica. Sed et multas com-

σαῖοι οὐκ ἐν Περσίδι μόνῃ τὰς θυγατέρας γαμοῦσιν, ἀλλὰ καὶ ἐν παντὶ ἔθνει, ὅπου ἂν οἰκήσωσι, τοὺς τῶν προγόνων φυλάττοντες νόμους καὶ τῶν μυστηρίων αὐτῶν τὰς τελετάς. Ἀλλὰ καὶ πολλὰ βάρβαρα ἔθνη κατελέξαμεν τάτε ὄντα ἐν Μεσημβρίᾳ καὶ Δύσει καὶ Ἀνατολῇ καὶ Ἄρκτῳ, τουτέστιν ἐν διαφόροις κλίμασι, μὴ μετέχοντα Ἑρμαϊκῆς ἐπιστήμης [32]). Πόσοι, νομίζετε σοφοὶ ἄνδρες παρήγαγον τοὺς κακῶς κειμένους νόμους, καὶ ἔθεντο τοὺς ἰδίους· καὶ οὐδεὶς τῶν ἀστέρων ἀπώλεσε τὸ ἰδίον κλίμα. Χθὲς οἱ Ῥωμαῖοι τῆς Ἀραβίας κρατήσαντες [33]) τοὺς τῶν Βαρβάρων νόμους ἤλλαξαν· ἕπεται γὰρ τὸ αὐτεξούσιον τῷ αὐτεξουσίῳ. Τὸ δὲ δυνάμενον πεῖσαι καὶ τοὺς ἀπίστους ἐκθήσομαι ὑμῖν. Ἰουδαῖοι πάντες οἱ διὰ Μωσέως δεξάμενοι νόμον, τοὺς γεννωμένους ἄῤῥενας παῖδας ἐν ὀγδοῇ ἡμέρᾳ αἱμάσσουσι περιτέμνοντες, οὐκ ἀστέρος παρουσίαν ἀναμένοντες, οὐ κλίματος ἐξουσίαν ἐκτρεπόμενοι [34]), οὐχ ὑπὸ νόμου ἀλλοτρίας χώρας ἀγόμενοι· ἀλλ᾽ εἴτε ἐν Συρίᾳ τυγχάνουσιν, εἴτε ἐν Γαλλίᾳ, εἴτε ἐν Ἰταλίᾳ, εἴτε ἐν Ἑλλάδι, ἢ ἐν Παρθίᾳ, ἢ ὅπου ἂν ὦσι, τοῦτο ποιοῦσιν. Ὅπερ οὐκ ἐστὶ κατὰ γένεσιν· οὐ γὰρ δύνανται πάντες Ἰουδαῖοι μίαν γένεσιν ἔχειν· ἀλλὰ καὶ δι᾽ ἡμερῶν ἑπτὰ [35]). πάντες ὅπου ἂν ὦσιν, ἀργοῦσιν ἐκ παντὸς ἔργου, καὶ οὔτε ὁδεύουσιν, οὔτε πυρὶ χρῶνται· οὔτε ἀναγκάζει ἡ γένεσις Ἰουδαῖον οὔτε κτίσαι οἶκον, οὐ καταλῦσαι, οὐκ ἐργάσασθαι, οὐ πωλῆσαι, οὐκ ἀγοράσαι ταῖς ἡμέραις τοῦ Σαββάτου, καί τοι ἐν τῇ αὐτῇ ἡμέρᾳ γεννώντων Ἰουδαίων, καὶ γεννωμένων, καὶ νοσούντων, καὶ ἀποθνησκόντων· ταῦτα γὰρ οὐκ ἔτι ἐστὶ τοῦ αὐτεξουσίου. Ἐν τῇ Συρίᾳ καὶ ἐν τῇ Ὀσροηνῇ ἀπεκόπτοντο πολλοὶ τῇ Ῥέᾳ· καὶ ἐν τούτῳ μιᾷ ῥοπῇ ὁ βασιλεὺς Ἄβγαρος ἐκέλευσε τῶν ἀποκοπτομένων τὰ αἰδοῖα ἀποκόπτεσθαι καὶ τὰς χεῖρας· καὶ ἐκ τότε οὐδεὶς ἀπεκόψατο ἐν τῇ Ὀσροηνῇ. Τί δὲ ἐροῦμεν περὶ

memoravimus gentes in Meridie, in Ortu, in Occasu, in Septentrione ac proinde in tam dissitis terrae locis, quae expertes sunt artis a Mercurio traditae. Quot putatis viri sapientes mutarunt male positas leges? Quot leges ob difficultatem factae sunt irritae? Quot reges populorum victores mutarunt receptas primum leges, ac suas reposuere: neque tamen stella ulla vim suam amisit. Iam modo Romani domitis Arabum terris instituta ibi mutarunt. Nam voluntas libera voluntatem liberam sequitur. Addam aliud, quod vel maxime incredulos posset convincere: Iudaei omnes, qui per Mosem legem accepere, natos sibi liberos mares die octavo circumcidendo cruentant, non exspectantes sideris alicuius adventum, non metuentes vim tractus praesidem, non aliarum gentium se legibus aptantes; sed sive in Syria sunt, sive in Gallia, sive in Italia, sive in Graecia, sive in Parthia et ubicumque sunt locorum, hoc sic faciunt, quod non est ex genitura; neque enim omnes Iudaei eandem genituram habere possunt. Sed et die quoque septima omnes ubicumque sunt, omni abstinent opere, ita ut nec iter faciant, nec igne utantur. Neque genitura Iudaeum necessitate prohibet domum aedificare, hospitium sumere, opus facere, vendere, emere diebus Sabbathi: quanquam eadem die Iudaei et gignant et gignantur, et aegrotent et moriantur. Haec enim non sunt eorum quae in nostra libertate sunt posita. In Syria et in Osroene multi in honorem Rheae solebant sibi partes genitales abscindere. Uno temporis puncto iussit Abgarus omnibus qui sibi eas partes abscidissent, abscindi manus. Ex eo in Osroene desiere abscindi. Quid vero dicemus de Christianorum secta, cuius nos disciplinae sumus, multi admodum in diversissimis regionibus gentibusque: et cum tam multi

τῆς τῶν Χριστιανῶν αἱρέσεως, ἧς ἡμεῖς οἱ δοξασταὶ πολλοὶ ὄντες, καὶ ἐν διαφόροις ἀνέστημεν κλίμασιν, ἐν παντὶ ἔθνει καὶ κλίματι, οἵ τινες πολλοὶ ὄντες ἑνὶ ὀνόματι κεκλήμεθα, καὶ οὔτε οἱ ἐν Παρθίᾳ Χριστιανοὶ πολυγαμοῦσι, Πάρθοι ὑπάρχοντες, οὔτ᾽ οἱ ἐν Μηδίᾳ κυσὶ παραβάλλουσι τοὺς νεκρούς· οὐχ οἱ ἐν Περσίδι γαμοῦσι τὰς θυγατέρας αὐτῶν, Πέρσαι ὄντες· οὐ παρὰ Βάκτροις καὶ Γάλλοις φθείρουσι τοὺς γάμους· οὐχ οἱ ἐν Αἰγύπτῳ θρησκεύουσι τὸν Ἄπιν, ἢ τὸν Κύνα, ἢ τὸν Τράγον ἢ Αἴλουρον [36])· ἀλλ᾽ ὅπου εἰσὶν, οὔτε ὑπὸ τῶν κακῶν κειμένων νόμων, καὶ ἐθῶν νικῶνται· οὐχ ἡ [37]) ὑπὸ τῶν ἀρχῶν πρυτανευομένη γένεσις αὐτοὺς ἀναγκάζει τοῖς ἀπειρημένοις κακοῖς ὑπὸ τοῦ Διδασκάλου αὐτῶν χρῆσθαι· νόσῳ δὲ, καὶ πενίᾳ, καὶ πάθεσι, καὶ ταῖς νομιζομέναις ἀτιμίαις ὑπόκεινται. Ὥςπερ γὰρ ὁ ἐλεύθερος ἡμῶν ἄνθρωπος δουλεύειν οὐκ ἀναγκάζεται, κἂν ἀναγκασθῇ, ἀνθίσταται τοῖς ἀναγκάζουσιν· οὕτως οὐδὲ ὁ φαινόμενος ἡμῶν δοῦλος ἄνθρωπος τῆς ὑποταγῆς ἐκφεύγειν ῥαδίως δύναται. Εἰ γὰρ πάντα ἐδυνάμεθα, ἡμεῖς ἂν ἦμεν τὸ πᾶν, ὥςτε, εἰ μηδὲν ἐδυνάμεθα, ἄλλων ἦμεν, ὡς προεῖπον, ὄργανα καὶ οὐχ ἑαυτῶν. Θεοῦ δ᾽ ἐπινεύσαντος πάντα δυνατὰ καὶ ἀνεμπόδιστα· τῇ γὰρ ἐκείνου βουλήσει οὐδὲν ἀντιστῆναι δύναται· καὶ γὰρ τὰ δοκοῦντα ἀνθίστασθαι, αὐτοῦ χρηστοῦ ὄντος καὶ συγχωροῦντος ἑκάστῃ φύσει ἔχειν τὴν ἰδιότητα, καὶ τὸ αὐτεξούσιον τοῦ θελήματος, ἀνθίσταται.

Τοσαῦτα καὶ ὁ Σύρος.

---

et tam dissiti sumus, uno appellamur nomine. Nec qui in Parthia sunt Christiani plures ducunt uxores, quamvis Parthi sint et ipsi: nec qui in Media vivunt, canibus obiiciunt mortuos; nec qui in Perside sunt, filias ducunt uxores, cum et ipsi sint Persae: non apud Bactrianos et Gallos aliena matrimonia temerant, non in Aegypto colunt Apim, aut canem, aut hircum, aut felem, sed ubivis sunt locorum, non patiuntur a male positis legibus aut institutis se devinci. Non eos a principibus stellis gubernata nativitas compellit quicquam eorum facere, quae magister eorum vetuit. Interim morbis ac paupertati et adversis, et ei quae sic dicitur, infamiae subiacent. Sicut enim is intra nos homo, qui liber est, ad servitutem non cogitur; et si quis cogere velit ei obsistit, ita is qui conspicitur homo servus, non facile effugere potest necessitatis vinculum. Nam si omnia nos possemus, nos essemus hoc Universum; contra vero si nihil possemus, aliorum essemus, ut ante dixi, instrumenta, non nostri ipsorum. At Deo favente nihil est quod fieri nequeat, nemo est qui prohibere possit, quae ei placent. Nihil enim est quod eius voluntati possit obstare. Nam et quae repugnare ei videntur eo repugnant, quod Deus cum sit bonus permittit cuique naturae suas proprietates, et voluntati humanae suam libertatem.

Haec Syrus ille.

Περὶ Ἐιμαρμένης

ἐκ τῶν Ἀλκινόου.

Περὶ δὲ ἑιμαρμένης τοιαῦτά τινα τῷ ἀνδρὶ (Πλάτωνι) ἀρέσκει. Πάντα μέν φησιν ἐν ἑιμαρμένῃ ἐῖναι, οὐ μὴν πάντα καθειμάρθαι. Ἡ γὰρ ἑιμαρμένη νόμου τάξιν ἐπέχουσα οὐχ ὁῖον λέγειν, ὅτε ὁ μὲν τάδε ποιήσει, ὁ δὲ τάδε πείσεται· (ἐις ἄπειρον γὰρ τοῦτο, ἀπείρων μὲν ὄντων τῶν γεννωμένων, ἀπείρων δε τῶν περὶ αὐτὰ συμβαινόντων· ἔπειτα καὶ τὸ ἐφ᾿ ἡμῖν οἰχήσεταί, καὶ ἔπαινοι καὶ ψόγοι, καὶ πᾶν τῶν τούτοις παραπλήσιον·) ἀλλὰ ὅτι ἑί τις ἂν ἕληται ψυχὴ τοιοῦτον βίον, καὶ τάδε τινὰ πράξει, τάδε τινὰ αὐτῇ ἕψεται. Ἀδέσποτον ὀῦν ἡ ψυχὴ, καὶ ἐπ᾿ αὐτῇ μὲν τὸ πρᾶξαι ἢ μὴ, καὶ μὴ κατηνάγκασται τοῦτο, τὸ δὲ ἑπόμενον τῇ πράξει καθ᾿ ἑιμαρμένην συντελεσθήσεται· ὁῖον τῷ, Πάρις ἁρπάσει τὴν Ἑλένην, ἐπ᾿ αὐτῷ ὄντι, ἀκολουθήσει τὸ πολεμήσουσι Τρώεσσι περὶ τῆς Ἑλένης οἱ Ἕλληνες. Ὁύτω γὰρ καὶ ὁ Ἀπόλλων τῷ Λαΐῳ προεῖπεν·

Ἐι γὰρ τεκνώσεις παῖδ᾿ ἀποκτενεῖ σ᾿ ὁ φύς.

Ἐν τῷ θέσμῳ δὴ περιέχεται μὲν καὶ ὁ Λαΐος καὶ τὸ φῦσαι αὐτὸν παῖδα, καθείμαρται δὲ τὸ ἑπόμενον· Ἡ δὲ τοῦ δυνατοῦ φύσις πέπτωκε μέν πως μεταξὺ τοῦ τε ἀληθοῦς καὶ τοῦ ψεύδους· ἀορίστῳ δὲ ὄντι αὐτῷ

De Fato.

(Ex Alcinoi Introductione in Platonem. Cap. 26.)

Hugone Grotio interprete.

De Fato haec sunt Platonis placita: Omnia in Fato esse dicit, non tamen omnia Fato decreta. Fatum enim legis vim habet, non ut dicat exempli causa: ille ista faciet, ista patietur (id enim in infinitum iret, cum infinitae sint res quae fiunt et infinita ipsis accidunt. Praeterea hoc modo tolleretur id, quod in nostra potestate est, et laudes et vituperationes et quicquid his est affine) sed hoc modo: Si quis animus talem vitam eligat et talia faciat, talia eum consequentur. Est ergo animus non sub domino, et penes ipsum est agere vel non agere: neque ullam in illis patitur necessitatem. At quod his est consequens, id ex Fati ordinatione implebitur. Exempli gratia cum illud Paris rapiet Helenam, esset in Paridis potestate, eo dato sequetur illud: Bellum in Troianos Graeci gerent propter Helenam. Nam sic et Apollo Laio praedixerat:

Te namque perimet, si qua erit proles tibi.

Intra legis autem ambitum comprehenditur et Laius et satio prolis: Fato autem decretum tantum est illud consequens. Natura eius quod fieri potest, iacet quodammodo inter verum et falsum: fieri autem cum

τῇ φύσει ὥςπερ ἐποχεῖται τὸ ἐφ' ἡμῖν· ὃ δ' ἂν ἐχομένων ἡμῶν γένηται, τοῦτο ἔσται ἢ ἀληθὲς ἢ ψεῦδος· ὁ δὲ δυνάμει τοῦτ' ἔστι, τοῦ καθ' ἕξιν καὶ κατ' ἐνέργειαν λεγομένου διήνεγκε. Τὸ μὲν γὰρ δυνάμει ἐπιτηδειότητά τινα ἀποσημαίνει πρός τινα οὔπω τὴν ἕξιν ἔχοντα· ὡς ὁ παῖς δυνάμει ῥηθήσεται καὶ γραμματικὸς καὶ αὐλητὴς, καὶ τέκτων· ἔσται δὲ τὸ τηνικάδε ἐν ἕξει ἑνός τινος, ἢ δυοῖν τούτοιν ὁπόταν μάθῃ, καὶ κτήσηταί τινα τῶν ἕξεων· κατ' ἐνέργειαν δὲ, ὁπόταν ἐνεργῇ ἀπὸ τῆς ἕξεως ἐκείνης, ἣν κέκτηται· τὸ δὲ δυνατὸν οὐδὲν τούτων· ἀόριστον δὲ ὂν τὸ ἐφ' ἡμῖν, κατὰ τὴν ἐφ' ὁπότερον ῥοπὴν, λαμβάνει τὸ ἀληθεύειν ἢ μή.

---

a natura sit indefinitum, invehitur ut ita dicam id quod nostrae est potestatis. Quod autem nobis deligentibus fiet, hoc erit verum, falsumve. Quod vero potestate est, differt ab eo, quod habitudine et actu esse dicitur. Nam quod potestate esse dicitur, aptitudinem quandam significat in eo qui habitudinem nondum est adeptus. Sic puer potestate dicetur literator aut, aut tibicen aut faber. Erit autem in habitudine unius horum aut plurium, ubi didicerit, et habitudinem erit consecutus. In actu vero ubi ex habitudine sive facilitate illa quam in se habet operabitur. At id quod fieri potest, nihil est horum. Sed cum per se sit indefinitum in eo quod nostrae est potestatis, prout illud huc aut illuc verterit; accipit ut aut verum sit, aut non sit.

ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ ΠΛΗΘΩΝΟΣ.

ΣΥΓΓΡΑΜΜΑΤΙΟΝ

Περὶ εἱμαρμένης.

Πότερα δὲ ὥρισταί τε καὶ εἵμαρται ἅπαντα τὰ μέλλοντα, ἢ ἔστιν ἃ ου διώρισται αὐτῶν, ἀλλ' ἀορίστως τε δὴ καὶ ἀτάκτως χωρεῖ, καὶ οὕτως ὅπως ἂν τύχοι; δηλαδὴ ὅτι ὥρισται ἅπαντα. Ἐι γὰρ ὁτιοῦν οὐχ ὡρισμένως γίνοιτο τῶν γινομένων, ἤτοι ἄνευ αἰτίου γεγονὸς ἔσται, καὶ τὶ ἔσται τῶν γινομένων, τὴν γένεσιν ἄνευ αἰτίου ἐσχηκός· ἢ οὐχ ὡρισμένως αὐτὸ, οὐδὲ σὺν ἀνάγκῃ τὸ αἴτιον ἀπεργάσεται, καὶ τὶ ἔσται τῶν αἰτίων, οὐκ ἀνάγκῃ, οὐδ' ὡρισμένως δεδρακός τι ὧν ἂν δρῴη· ὧν οὐδέτερα δυνατά. Πολὺ δ' ἔτι μᾶλλον ἀδύνατον, ἐι τοὺς θεούς τις λέγει μεταβάλλεσθαι περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα, καὶ ἕτερ' ἄττα, παρ' ἃ ἐμέλλησαν ἀποτελεῖν, εἴτε ὑπ' ἀνθρώπων λιταῖς, ἢ τισι δώροις παραπειθομένους, εἴτε δὴ καὶ ἄλλως γέ πως αὐτὸ πάσχοντας. Κινδυνεύουσι γὰρ οἱ τὴν περὶ τῶν ἐσομένων ἀνάγκην τε καὶ εἱμαρμένην ἀναιροῦντες, ἢ καὶ τῆς προνοίας ὅλως τῶν τῇδε ἐκβάλλειν τοὺς θεοὺς, ἢ καὶ τὴν τῶν χειρόνων αὐτοῖς αἰτίαν, ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίστων περιάπτειν· ἀμήχανον ὂν, μὴ οὐ θάτερα ἀεὶ, ἤτοι τὰ πρό-

GEORGII GEMISTI PLETHONIS

LIBELLUS DE FATO.

(Latine versus a Samuele Reimaro Hamburgensi.)

Num definita sunt ac constituta fato quae futura sunt omnia: aut suntne etiam nonnulla eorum quae definita non sunt, sed indefinite ac inordinate, et ut fors tulerit, eveniunt? Sane definita sunt omnia. Nam si quicquam eorum quae fiunt, non definite fieret, sequeretur vel idem absque causa nasci; adeoque aliquid eorum quae fiunt habere ortum, sed causa carere, vel causam ipsam absque determinatione neque necessario operari, et esse adeo quandam causarum, quae non necessario, neque determinate quid eorum quae fecerit, faciat, quod neutrum fieri potest. Multo autem minus fieri potest, ut quis Deos mutare dicat consilia in iis, quae semel de futuris decreverunt, aut quaedam praeter ea quae erant in animo perficere; seu precibus hominum, seu donis illectos, seu alia quavis ratione inductos. Nam qui necessitatem futurorum Fatumque tollunt, non temere evitabunt, quin vel de providentia rerum humanarum deiiciant Deos, vel peiora potius omnia, quam eorum quae fieri possunt optima, ipsis assignent: Quoniam fieri aliter non

τερον ἢ ὕστερον αὐτοῖς ἐγνωσμένα χείρω τῶν ἑτέρων εἶναι· ὥςτε τοῖν δυοῖν ἂν τοιούτοιν ἀσεβημάτοιν θατέρῳ πάντως τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας περιπίπτειν. Ἀλλὰ τούτοιν τε ἑκάτερα πολλαχοῦ ἀδύνατα, καὶ τὰ μέλλοντα ἅπαντα εἵμαρταί τε ἐξ αἰῶνος καὶ τέτακται ὡς δυνατὸν αὐτοῖς, ὑφ᾽ ἑνὶ τῶν πάντων βασιλεῖ Διῒ ταττόμενά τε καὶ ὁριζόμενα, ὃς εἰ καὶ μὴ ὥρισται μόνος τῶν πάντων, οὐκέτ᾽ ὄντος του καὶ τοῦτον ἂν ὁριοῦντος· (ὑπὸ γὰρ τῶν ἑαυτῶν αἰτίων ἁπάντ᾽ ἂν ὁρίζεσθαι τὰ ὁριζόμενα [1])· ὅμως κρείττων ὢν ἢ ὥςτε ὡρίσθαι, μένει τε ἀεὶ καὶ κατὰ τὰ αὐτὰ ὡςαύτως, καὶ τὴν μεγίστην πασῶν ἀνάγκην καὶ κρατίστην, αὐτὴν δι᾽ αὑτὴν οὖσαν ἀνάγκην, οὐ δι᾽ ἕτερον αὐτός ἐστιν ὁ κεκτημένος, ὡς τήν τε ἀνάγκην τῆς οὐκ ἀνάγκης ἀμείνω οὖσαν, καὶ αὐτῷ τὴν μεγίστην ἀναγκῶν, ἄκρως ἀγαθῷ ὄντι μᾶλλόν τι προςήκουσαν. Καὶ τοῖς γέ ποτε προςεχῶς προϊοῦσιν ἀπ᾽ αὐτοῦ ταὐτὸ τοῦτο δευτέρως μεθ᾽ ἑαυτὸν παρέχεται· οἰκεῖα [2]) μὲν γὰρ ἂν ἑαυτῷ τὰ ἀπ᾽ αὐτοῦ παράγοι· καὶ ταῦτά τε ἅμα καὶ τ᾽ ἄλλα δι᾽ αὐτὸν πάντα ὁρίζει· καὶ οὐδὲν οὔθ᾽ οὕτω παμμέγεθες, οὔτ᾽ αὖ πάνυ σμικρὸν οὕτως, ὥςτ᾽ ἂν αὐτὸν μὴ [2a]) οἷόν τε εἶναι, τῷ ἀφ᾽ ἑαυτοῦ ὅρῳ ἐφικέσθαι· οὐδενὸς [3]) γὰρ, ὅτου οὐκ αὐτὸν εἶναι τὸν αἰτιώτατον. Ἔτι δ᾽ εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ᾽ ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ᾽ ἀνθρώπων, ἀλλ᾽ οὐδ᾽ ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· Οὐ γὰρ οὐδ᾽ ὁπότερον ἀληθὲς, εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὔθ᾽ ὡς ἔσοιτο, οὔτ᾽ ἂν ὡς οὐκ ἔσοιτο. Τοίνυν δ᾽ οἱ θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι, παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τὴν γε αὐτῶν γένεσιν ἀπειληφότα· ἢ ἴσασί τε οὐκ ἄλλως, ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὐ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ

potest quin alterutrum semper, vel quod primo, vel quod postremo decreverant, altero sit deterius, ut proinde in alterum horum flagitiorum ii qui Fatum tollunt, necessario incidant. Sed utrumque horum multis modis est impossibile, et futura omnia ex aeternitate constituta sunt et ordinata, ab uno omnium Rege Iove ordinata ac definita. Qui quanquam solus inter omnia definitus non est, cum nondum fuerit aliquid, quod definire ipsum quiverit, (nam a suis quaeque causis definiri necesse est) tamen potior licet, quam qui definiri potuerit, et manet semper idem eodemque in statu, et maximam omnium fortissimamque necessitatem, quae ipsa per se necessitas est, non per alium, sustinet. Quod argumento esse debet et necessitatem praestare fortuitis, et Iovi, quod summe bonus sit, maximam necessitatem quam maxime convenire. Enimvero iis, quae immediate ab ipso producuntur, hanc ipsam affectionem secundo post se loco impertit. Nam quae generat, necesse est cognata sibi producat. Haec vero alia simul omnia per ipsum definit, nihilque est vel magnum adeo, vel parvum, quorsum ipse praescriptis a se legibus non pertingat. Nihil enim esse potest quod ipsum non agnoscat pro causa praecipua. Porro nisi definita essent futura, ne praesciri quidem possent, non solum ab hominibus, sed ne quidem a quoquam Deorum. Fieri enim omnino non potest ut quicquam sciatur, quod prorsus non sit definitum. Nam neque definiri posset quodnam verum sit, neque utrum futurum sit an minus. Iam autem norunt Dii futura, quoniam et decreverunt illa, et eadem, dum causa illorum sunt, habent sibi semper ante oculos praesentia, licet ortum nondum nacta sint. Certe aliter non norunt res, nisi dum disponunt illas, et causae illarum sunt. Nec

τῶν τῇδε, γινώσκοιεν αὐτά· οὐ γὰρ θέμις, οὐδ' οἷόν τε θεοὺς ὑπὸ χειρόνων καὶ μὴ ὄντων γέ πω διατίθεσθαι. Ἐπεὶ κινδυνεύουσιν ἔτι οἱ θεοὺς μὲν εἶναι νομίζοντες, τὴν δὲ περὶ τὰ τῇδε αὐτῶν πρόνοιάν τε καὶ εἱμαρμένην ἀναιροῦντες [4]), καὶ τὴν περὶ τὰ τῇδε αὐτῶν γνῶσιν ἀναιρεῖν· οὔτ' ἂν τῷ διατίθεσθαι κρείττους ὑπὸ χειρόνων γινωσκόντων, οὔτ' ἂν τῷ διατιθέναι, εἴπερ μηδὲ αἴτιοι εἰσὶν αὐτῶν· (ἀνάγκη γὰρ πᾶν τὸ γινῶσκον ἢ αἰτίᾳ καὶ τῷ διατιθέναι, ἢ μεθέξει καὶ τῷ διατίθεσθαι γινώσκειν, ἄλλως δ' οὐκ ἂν γνώσεως συμβαινούσης μή τινος ἂν καὶ γινώσκοντος πρὸς γνωστὸν κοινωνίας γιγνομένης.) Εἴτε καὶ αἴτιοι μὲν εἶεν τῶν τῇδε οἱ θεοὶ, μὴ ἀνάγκῃ δὲ μηδ' ὡρισμένως εἶεν αἴτιοι, ὧν ἂν αἴτιοι γίγνοιντο· οὐδ' οὕτως ἂν εἰδεῖεν ἅττα ποτὲ δράσουσι, μὴ οὐκ ἀναγκαίως τε ἐξ αἰῶνος πρὸς αὐτὰ καὶ ἀπαρατρέπτως ἔχοντες· ἀλλ' οἵτε θεοὶ ἴσασι τὰ ἐσόμενα, καὶ ἀνθρώπων οἷςπερ ἂν ἐθέλοιεν, καὶ καθόσον, προσημαίνουσι. Καί τισι καὶ προμεμαθηκόσι τῶν ἐσομένων, ἔστιν ἃ καὶ πειρωμένοις διαφυγεῖν, οὐδὲν ἧττον ἄφυκτά τε αὐτοῖς ἐγένετο καὶ ἀναπόδραστα τὰ πεπρωμένα, τοῖς δὲ καὶ αὐτῷ τούτῳ τῷ προμεμαθηκέναι τε καὶ πειρᾶσθαι διαφυγεῖν, τοῖς πεπρωμένοις περιπεσεῖν συνέβη [5]), οὕτω πού καὶ τοῦτο εἱμαρμένον αὐτοῖς· οὔκουν ἂν εἶναι ἀνάλυσιν, οὐδὲ παρατροπήν τινα τοῖς ἅπαξ ὑπὸ Διός τε ἐγνωσμένοις ἐξ αἰῶνος, καὶ εἱμαρμένῃ δεδεμένοις.

Ἀλλ' εἰ πάντα ὥρισται, φαίη ἄν τις, καὶ οὐδὲν ἅ,τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ' ἂν ἡ ἐλευθερία, καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ ἅττ' ἂν πράττοιεν πραττόντων, καὶ οὐκέτι οὔτ' ἂν κυρίων ἑαυτῶν ὄντων, οὔτ' ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν

enim temere ita sciverint res humanas, ut ab iis disponantur: si quidem nefas est et ne fieri quidem potest, ut Dii a rebus inferioris conditionis ac quae non sunt, disponantur. Quare vix evitabunt qui Deos quidem esse putant, sed illorum circa res humanas providentiam ac decretum tollunt, quin illorum simul cognitionem de rebus humanis tollant. Quoniam neque cognoscunt ita, ut qui nobiliores sunt, disponantur a rebus ignobilioribus, neque ita ut disponant eas, qui ne causae quidem illarum secundum ipsos sunt. (Debet enim omne quod cognoscit vel per modum causalem atque disponendo, vel per participationem, et ut disponantur, cognoscere. Et quoniam aliter nulla potest esse cognitio, nisi quaedam inter cognoscentem et rem cognitam sit communio.) Quin si Dii essent omnino causae rerum quae hic geruntur, neque tamen ex necessitate aut definite efficerent, quaecunque effecerint; ne sic quidem scirent quae sint aliquando facturi, cum non necessario ex aeternitate fuerint ac determinate ad eadem impulsi. Sed et norunt Dii futura et hominibus, quibuscunque et in quantum voluerint, praesignificant. Imo fuerunt, qui edocti licet de futuris rebus, eorum quae Fato erant constituta, ne illa quidem effugere atque amoliri potuerunt, quae ut effugerent, operam dabant. Alii vel ea de causa in suum incidere Fatum, quod id praedidicissent, et effugere conati essent, ut et hoc illis Fatum fuisse necesse sit. Nulla proinde liberatio est aut declinatio eorum, quae semel a Iove decreta sunt et Fato illigata.

Sed dixerit quis, si omnia definita essent nihilque expers esset necessitatis eorum, quae sunt aut fiunt, sequeretur et ex humano genere libertatem exsulare et iustitiam ex Diis. Cum homines quidem ex neces-

τοὺς κακοὺς, ἢ οὐκ ἐν δίκῃ κολαζόντων; εἴγε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί. Ἀλλὰ τοὺς μὲν ἀνθρώπους κυρίους ἂν ἑαυτῶν εἶναι οὐ τῷ μὴ ὑπ' οὐδενὸς ἂν τοπαράπαν ἄρχεσθαι, μή τε τοῦ ἄλλου, μή τ' ἂν αὐτῶν τῶν θεῶν, ἀλλὰ τῷ ἔχειν μέν τι ἐν ἑαυτοῖς ἄρχον, τὸ φρονοῦν, τὸ δὲ πολὺ ἀρχόμενον· καὶ τοῦ πολλοῦ τούτου ἓν, τὸ φρονοῦν τε καὶ φύσει βέλτιστον τῶν ἡμετέρων κύριον ἂν εἶναι. Αὐτὸ δὲ δὴ τὸ φρονοῦν ὡς οὐκέτ' ἂν ἄρχοιτο ὑπ' οὐδενὸς, οὐκ ἂν εἴη εἰπεῖν. Ἔπειτα εἰ μὴ ὡςαύτως ἅπασιν ἀνθρώποις, τὸ φρονοῦν τοῦτο, ὑπὸ τῶν αὐτῶν πραγμάτων φαίνεται διατιθέμενον, οὐκ ἂν ὀρθῶς τις οἰηθείη μηδ' ἐξ ἀνάγκης ἂν ἕπεσθαι τοῖς πράγμασι. Δῆλον γάρ ἐστι τοῦτο συμβαῖνον παρά τε τὴν ἰδίαν αὐτοῦ τοῦ φρονοῦντος ἑκάστοτε φύσιν, παρά τε τὴν ἄσκησιν. Ταυτὸ γὰρ ὁ,τιοῦν, πλείοσι μὲν, διαφέρουσι δέ πη ἀλλήλων, προςπίπτον, ὥςτε δράσον, διαφέροντά τοι καὶ τὰ παθήματα ἐξ ἀνάγκης ἀπεργάσεται· διαφέρειν γὰρ ἂν τὸ φρονεῖν τοῦτο ἑκάστοις, καὶ τὴν φύσιν καὶ τὴν ἄσκησιν, καὶ τῆς μὲν φύσεως τοὺς θεοὺς μὲν κυρίους εἶναι, τῆς δὲ ἀσκήσεως τὴν τοῦ ἀσκητέως [6]) εἶναι δόξαν, προτέραν τῳ ἐγγενομένην, ἣν ἂν ἀμήχανον ἂν [7]) εἶναι ἐγγενέσθαι ὁτῳοῦν, μὴ οὐ θεοῦ παραστήσαντος. Κυρίους μὲν οὖν ἂν ἑαυτῶν τοὺς ἀνθρώπους εἶναι, καθ' ὅσον που ἄρχουσιν αὑτῶν, κἂν ἀρχόμενοι ἄρχωσιν, ἐλευθέρους δὲ εἶναί τε πως καὶ μὴ εἶναι. Ἐι μὲν γὰρ ἐλευθερίαν τὶς τὴν μὴ ἀνάγκην καλεῖ, οὐκ ἂν ὀρθῶς φαίνοιτο καλῶν, ἀναγκάζοιτο γὰρ ἂν δουλείαν τὴν ἀνάγκην καλεῖν. Τῇ δὲ δουλείᾳ καὶ δεσποτείαν δήπου εἶναί τινα δεῖ, ᾗ δουλεύσει, δουλεία οὖσα· τῇ οὖν πρεσβυτάτῃ ἀνάγκῃ, καὶ ἣ μόνη αὐτὴ δι' αὐτὴν ἀναγκαίως ἔχει, τὰ δ' ἄλλα ἅπαντα δι' ἐκείνην, ἣν τἀγαθόν τε αὐτὸ καὶ τὸν Δία φαμὲν, τίς ποτε ἔσται δεσποτεία, ᾗ οὐ δουλεύσει; οὐ γάρ που ἡ

sitate facturi essent, quaecumque fecerint, neque vel sui amplius arbitrii futuri vel liberi: Dii vero vel vacaturi omnino a suppliciis improborum, vel immerito punituri, siquidem mali sint ex necessitate mali. Verum homines sunt sui arbitrii, non quod nullius imperio pareant, vel alius vel ipsorum Deorum, sed quod habeant intra se quendam principatum, scilicet mentem, pleraque vero quae pareant. Et multorum quidem horum, una quae optimum est natura in nobis domina mens est. Ipsa vero mens quod porro pareat nemini dici non potest: quippe quam primo quidem res externas sequi satis est manifestum: deinde licet non in omnibus ab iisdem rebus eodem affici modo intelligatur, minus tamen recte quis iudicet, illam propterea non ex necessitate res sequi: siquidem apparet, hoc et a diversa cuiusque mentis natura et ab exercitatione proficisci. Nam eadem res quaecunque pluribus quidem, sed aliqua inter se ratione diversis occurrens, diversas etiam necessario affectiones producet. Differt enim haec mens in singulis et qua naturam et qua exercitationem. Et natura quidem Dii sunt domini, exercitationis vero illa cuiusque se exercentis opinio, quam prius nactus erat, quamque adipisci nemo potest, nisi docente Deo. Sui ergo sunt arbitrii homines in quantum sibi imperant, licet sub alius imperio constituti imperent: Liberi vero quodammodo sunt et non sunt. Nam si eam quis libertatem nominet, quae non sit necessitas, minus recte ita nominasse videbitur. Cogetur enim necessitatem vocare servitutem: servituri vero dominatus quidam esse debet, cui ut servitus subsit. Sed quisnam tum erit dominatus, cui non servire necesse sit summi illi necessitati, quae sola per se est necessaria, cum reliqua per ipsam sint, quamque ipsum bonum

αὐτὴ δεσποτεία ἅμα καὶ δουλεία ἔσται· ἐι δὲ τῷ ἄρχεσθαί τε καὶ μὴ ὁριεῖταί τις τήν τε δουλείαν καὶ ἐλευθερίαν, οὐ μόνον οὐκ ἂν ἀνθρώπων οὐδεὶς ἐίη ἐλεύθερος, ἀλλ᾽ οὐδ᾽ ἂν θεῶν ἄλλος τις, πλὴν Διός, ἄλλων μὲν ἄλλοις τῷ ἄρχεσθαι δουλευόντων, ἁπάντων δ᾽ ἀπὸ [8]) θεῶν ἀρξαμένων τῷ κοινῷ δεσπότῃ Διΐ. Οὐ μέντ᾽ ἂν δεινὸν τ᾽ ἐίη τοῦτον τὸν τρόπον ἡ δουλεία καθάπαξ, οὐδὲ φευκτόν· ἐι γὰρ τῷ ἀγαθῷ δουλεία οὐ μόνον οὐ δεινὸν, ἀλλὰ καὶ λυσιτελές τι καὶ φίλον καὶ τῷ αὐτῷ δουλεύοντι (οὐδὲν γὰρ ἂν ἄλλο ἢ ἀγαθὸν ἀπολαύσειέ τις, δουλεύων ἀγαθῷ). Ἐι δ᾽ οὐ ταύτῃ τις ὁριεῖται δουλείαν τε καὶ ἐλευθερίαν, ἀλλ᾽ ἐκείνῃ μᾶλλον, τῷ κωλύεσθαι ἢ μὴ κωλύεσθαί τινα ζῆν [9]) ὡς βούλεται, βούλοιτο δ᾽ ἂν πᾶς τις πράττειν τε ἐῦ καὶ ἐυδαιμονεῖν, ἅπας μὲν ἂν ὁ ἐῦ πράττων κἂν ἐλεύθερος ἐίη, ἄν τε ἀρχόμενος, ἄν τε μὴ, ἐῦ πράττων τυγχάνῃ· ὡς γὰρ βούλεται ζῴη ἄν. Κακῶς δὲ πράττων τις οὔτ᾽ ἂν ὡς βούλοιτο ζῴη, οὔτ᾽ ἂν ἐλεύθερος δήπου ἐίη, κακῶς δὲ πράττειν ἀνθρώπους οὐκ ἄλλῃ ἂν ἢ κακοὺς γεγονότας [10])· ὥςτε οὐδ᾽ ἂν κακὸς ἀνθρώπων οὐδεὶς βούλοιτ᾽ ἂν γίνεσθαι, ἐίγε δὴ μηδὲ κακῶς ἂν πρᾶξαι· ἀλλ᾽ ἄκοντας κακοὺς τοὺς κακοὺς γίνεσθαι ἐξαμαρτάνοντας· οὐδ᾽ ἂν ἐλεύθερον κακῶν ἐῖναι οὐδένα, τοὺς δὲ καλούς τε μόνους ἀγαθούς. Τοὺς δὲ θεοὺς κολάζειν ἂν, οὐκ αὐτὸ τοῦτο τὸ τέλος δήπου, τόγε κολάζειν ποιουμένους, οὐδ᾽ ἐπ᾽ αὐτοῦ καταστρέφοντας, ἀλλὰ τὰ ἁμαρτήματα ἐπανορθοῦντας· ἐπεὶ γὰρ οὐχ οἷόν τε ἦν μὴ ἁμαρτάνειν πάντως τὸν ἄνθρωπον, τοιοῦτόν τινα γεγονότα, ἔκ τε θείας καὶ ἐπικήρου φύσεως σύνθετον. Ἀλλ᾽ ἔδει τότε μὲν ἂν, κατὰ τὸ θεῖον τὸ ἐν αὐτῷ ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀγόμενον, ἐῦ τε πράττειν καὶ μακαρίως ζῆν· τότε δ᾽ αὖ ὑπὸ τοῦ θνητοῦ τοῦ ἐν αὐτῷ κατασπώμενον, ἑτέρως αὖ πράττειν, βοήθειάν τινα

et Iovem appellamus: Nec enim eadem temere dominatus simul et servitus erit. Si quis vero ex eo definiendam iudicet servitutem aut libertatem, utrum quis imperio subsit an minus, non solum hominum nemo, sed ne Deorum quidem quisquam liber erit praeter Iovem: aliis nimirum aliorum imperio subiectis adeoque servientibus, omnibus autem, inde usque a Diis, parentibus communi domino Iovi. Neque tamen molesta prorsus foret hoc modo servitus aut fugienda. Nam si bono servitus non solum molesta non est, sed et expedit et placet, eadem videri debet iis qui ipsi bono serviunt. Non enim nisi bonis frui poterit, qui bono serviat. Quod si quis illa ratione non definiat servitutem et libertatem, sed hac potius, prout quis vel prohibeatur, vel non prohibeatur vivere ut vult, velit autem unusquisque felix esse et beatus, sequetur quemlibet, cui bene est, liberum esse, sive sub imperio sive absque eodem bene agat. Viveret enim ut vellet: contra vero infelicem neque vivere ut velit, nec proinde liberum esse. Sed infelices aliter homines non sunt, nisi ubi mali fuerint. Ergo neque quisquam volet malus fieri, siquidem nec infelix esse, sed mali inviti delinquent, neque malorum quisque liber erit, sed soli boni probique. Dii vero puniunt, non ut poenas ipsas sibi constituant finem, aut eo convertant animum, sed ut delicta corrigant. Quandoquidem enim fieri non poterat, ut prorsus non peccaret homo, qui ita erat comparatus atque e divina et caduca naturis compositus, sed debebat quidem aliquando secundum id quod erat in ipso divinum ad cognatae naturae imitationem excitatus, bene agere vivereque beate, interdum vero a natura abreptus mortali alio quodam subsidio iuvari. Hanc ipsam correctionem Dii poenarum ope effecerunt, ut homo

αὐτῷ, καὶ διὰ τῶν κολάσεων ταύτην ἐπανόρθωσιν τοὺς θεοὺς μεμηχανῆσθαι; ὡς ποτε τῷ κολασθῆναί τε καὶ δίκην δεδωκέναι ἀπαλλαγέντι τῆς κακίας, οἷόν περ νόσου σώματος δηκτικοῖς τε καὶ ἀνιαροῖς τισι φαρμάκοις, ἄμεινόν τε πρᾶξαι γένοιτο, καὶ ἐλευθερίας ἀντὶ δουλείας μεταλαμβάνειν, ὅτου μὴ ἠπιωτέρα τις ἐπανόρθωσις, διὰ μοχθηροτέραν τινὰ ἕξιν, δύναιτο καθίκεσθαι, ὥςτ᾽ οὐδὲν ἂν κωλύειν καὶ ἄκοντας κακοὺς ὄντας τοὺς κακοὺς, ὅμως κολάζεσθαι, κακὸν [11]) μὲν οὐδὲν προςπεισομένους, ἀλλ᾽ ὠφελησομένους τῷ κολάζεσθαι. Ὡς μὲν οὖν εἰσί οἱ θεοὶ, καὶ ὡς προνοοῦσιν ἀνθρώπων, καὶ ὡς οὐ κακῶν αἴτιοι καὶ ὡς εἱμαρμένῃ ἀπαρατρέπτῳ τὸ βέλτιστον ἑκάστοις ἀπονέμουσιν, ὡς γοῦν μετρίως εἰρῆσθαι, ἱκανῶς ἤδη εἰρήσθω.

ΒΗΣΣΑΡΙΩΝ ΚΑΡΔΙΝΑΛΗΣ ΤΩΙ ΣΟΦΩΙ ΚΑΙ ΔΙΔΑΣΚΑΛΩΙ ΓΕΩΡΓΙΩΙ ΤΩΙ ΓΕΜΙΣΤΩΙ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Περὶ εἱμαρμένης.

Οὐ μὴν ἀλλὰ καὶ τὸ πολυθρύλλητον εἱμαρμένης τε καὶ ἀνάγκης δόγμα κατατεμαχίζειν [12]) μοι δοκοῦσι Σιμπλίκιος τε καὶ Ὀλυμπιώδορος· ὁ μὲν ἐν ταῖς εἰς τὸ ἐγχειρίδιον Ἐπικτήτου ἐπιστασίαις, ἀποτρεπόμενος τοὺς πάντα ἀναγκάζοντας, τάτε ἐπιχειρήματα αὐτῶν ἐκτιθέμενος καὶ ἀνατρέπων, εἶτα αὐτὸς ἀποδεικνὺς καὶ συμπεραίνων, τὴν ὑπόληψιν καὶ ὄρεξιν τῆς ψυχῆς, καὶ ὅλως τὴν αἵρεσιν καὶ προαίρεσιν αὐτεξούσιον, καὶ οὐδαμῶς ἠναγκασμένην εἶναι. Ἄλλως γὰρ οὐδὲ οἴεται τὸ αὐτοκίνητον αὐτῆς σώζεσθαι δύνασθαι, καὶ ὅλως αὐτὴν τὴν οὐσίαν, ἀλλ᾽ ἅμα τῇ τοῦ ἐφ ἡμῖν ἀναιρέσει

dum punitur et poenas dat, liberatus a vitiositate, velut a corporis morbo mordentibus solemus et ingratis medicamentis, possit felicius agere, et libertatatem cum servitute commutare, quod mitior correctio propter vitiosiorem habitum assequi non potuisset. Ut adeo nihil absit, quo minus mali, utut inviti mali sint, nihilominus puniantur, siquidem non augentur malis, sed utilitatem capiunt ex supplicio. Hac ergo ratione sunt Dii, hac provident hominibus, hac mali causa non sunt, hac denique fato inevitabili quod optimum est cuique tribuunt. Quare ut modice dictum sit, iam satis dictum esto.

BESSARIO CARDINALIS VIRO DOCTISSIMO PRÆCEPTORI SUO GEORGIO GEMISTO S. D.

De Fato.

Verum enim vero inter pervulgatam quoque sententiam de Fato et necessitate distinguere videntur Simplicius et Olympiodorus. Hic quidem in Animadversionibus in Enchiridion Epicteti, aversatur eos, qui necessitati omnia devinciunt, et argumentis eorum expositis atque eversis ipse ostendit et concludit, opinionem et desiderium animae, ac in universum electionem ac propositum esse in arbitrio hominis, nequaquam vero coacta. Aliter enim ne motum quidem eius spontaneum posse servari, quin ne ipsam quidem essentiam; sed simulac tollantur ea, quae sint in

